(*II*) **1** *κηπουρὸν δ.* P M | *ὀλίγα μὲν* Mo Cas *ὀλίγα ἐσθίων π. ἐκ.* N *πολλὰ μὲν ἐκ. ὀλ. δὲ ἤσθιεν* E *μὲν πολλὰ ἤσθιεν ὀλ. δὲ ἐκακ.* P L M || **3** *ἀπαλλάξει* P L Mo Br N | *ἐκδώσῃ*] E, Kor. *ἐκδώσει*, quod tuetur Chr. Schneider ad Cas f. 132, ceteri *ἐκδοῦναι* P L M | *Ζεὺς μέμψας* (= *πέμψας*, cf. Aug.) Cas || **4** *εἰς κεραμαία συνήνεσεν πωλῆσαι αὐτὸν* Mo · *μετέδωκεν αὐτὸν κεραμεῖ κεράμια πωλη**** (*πωλήσαντι?*) E *πωληθῆναι* Br N || **5** *ἀχθηφορῶν ἦν ⟨ἐν⟩ τῷ π.*] VO P L Mo M (*ἦν* P) *ἐν* inserui *ἀχθηφόρει* (*-ρειν* Br) *ἐν τῷ π.* Br N, *ἀχθηφορεῖν ἠναγκάζετο ἐν τῷ π.* Cas, desunt haec in E voces *πηλὸς καὶ πλινθεία* ex Sacra Scriptura petitas esse — cf. ex. I 14 — agnovit Kor. p. 304 || **6** *τὸν Δ. ἐκ δευτέρου παρ.* N *παρεκάλει τὸν Δία* (*παρεκάλεσεν αὐτὸν* E) *ἀλλάξαι τὸν δεσπότην* Mo E || **7** *ἔτι*] VO, om. cet. || **8** *εἰς χ. τῶν προτέρων δεσποτῶν καταντήσας* (*καταστάς τε καὶ καταντήσας ὁρῶν* Mo) E Mo *ἔδει* (= *εἶδε*) *ὅτι εἰς χείρονα δεσποτείαν* (*-τίαν* P) *ἀνέπεσε* P L M || **9** *ἐμοὶ* V *εἴμην* (= *ἤμην*) P | *τάλανι* O Mo Cas || **10** *αἱρετώτερον* Mo Cas | *ἦν μοι* om. Mo *ἦν* om. E | *τοῖς προτέροις εἶναι* E || **11** *ἀφελεῖν*] E, Kor *ἀναλαβεῖν* Mo *ἀνελεῖν* cet. *ὑστάτων* Mo *λάβ. ἑτέρων* Cas

(*III*) **2** *τῷ Διὶ* om. *γ*, cod. deter. in *α* || **3** *ἀπεμπωληθῆναι* (*ἀπεμπωλεῖται* C) Q (*β*), cod. det. in *α*. ed. vet. Kor.

ἐπακούσαντος καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι πάλιν ἐδυσφόρει πλέον ἢ πρότερον ἀχθοφορῶν καὶ τόν τε πηλὸν καὶ τὰς κεράμους κομίζων. πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε καὶ βυρσοδέψῃ ἀπεμπολεῖται. εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσὼν καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα μετὰ στεναγμῶν ἔφη· „οἴμοι τῷ ταλαιπώρῳ. βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπόταις μένειν· οὗτος γάρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται."

ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἱ οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

□ 191. *ΟΝΟΣ ΑΛΑΣ ΓΕΜΩΝ*

(Halm 322 Ch. 266)

□ (*I*) *ὄνος ἅλας γέμων ποταμὸν διέβαινεν. ὀλισθήσας δὲ ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἁλὸς κουφότερος ἐξανέστη. ἡσθεὶς δὲ ἐπὶ τούτῳ ἐπειδὴ ὕστερον σπόγγους ἐμπεφορτισμένος κατά τινα ποταμὸν ἐγένετο, ᾠήθη, ὅτι, ἐὰν πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεται. καὶ δὴ ἑκὼν ὠλίσθησε. συνέβη δὲ αὐτὸν τῶν σπόγγων ἀνασπασάντων τὸ ὕδωρ μὴ δυνάμενον ἐξανίστασθαι ἐν τούτῳ ἀποπνιγῆναι.*

---

191 Aelian. h. an. VII 42 Plut. soll. anim. 16, 971 B Babr. 111 tetr. I 57

---

191 – CFECrAB (Sal.)

---

5 *ἀχθηφορῶν* (*γ*) || **6** *τοὺς κεράμους* Laud (*γ*) Q G (*β*) Borb. (*α*) ed. rec. | *μετακομίζων γ* || **10** *π. τοὺς προτέρους δεσπότας* M (*IIIδ*) O (*γ*) || **11** *ὡς ὁρῶ* om. cod. det. in *α* | *τὸ σπέρμα γ* || **12** *κατεργάζεται* F G O (*γ*) *μου κνήσει* (vel *δέψει?*) Crus. || **14** *τῶν προτέρων* L O Go alii in *γ*, cod. det. in *α* | *πειραθῶσι* E Tu (*γ*)

191 **1** *γέμων*] C Cr B Sal. *φέρων* F *ἔχων* E *βαστάζων* A | *διήρχετο* A | *ὀλισθὼν* Cr B || **2** *ἅλατος* E B | *κουφότερον* AB || **3** *εὐφρανθεὶς δὲ* A | *ὕστερόν ποτε* E A || **4** *ἦν πεφορτωμένος* (-*τισμένος* B) C F B *ἐμπ. ποταμὸν διέβαινε* A | *ᾠήθη δὲ* C B *ᾠήθη δεῖν* A || **5** *ἐλαφρότερον* A | *ἐγερθ.* F || **6** *ὤλισθε* E | *αὐτῷ* E A B || **7** *δυναμένῳ* A *δυνάμενος* E Cr B | *ἐξαναστήσεσθαι* A *ἐξαναστῆναι* E | *ἐν τούτῳ*] C F *ἐν τούτῳ ὑπὸ τὸ ὕδωρ* E *ἐνταῦθα* E A B

οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι διὰ τὰς ἰδίας ἐπινοίας λανθάνουσιν εἰς συμφορὰς ἑαυτοὺς ἐμβάλλοντες.

192. *ΟΝΟΣ ΚΑΙ ΗΜΙΟΝΟΣ*

(Halm 177b Ch. 142f.)

ὀνηλάτης ἐπιθεὶς ὄνῳ καὶ ἡμιόνῳ γόμους ἤλαυνεν· ὁ δὲ ὄνος, μέχρι μὲν πεδίον ἦν, ἀντεῖχε πρὸς τὸ βάρος. ὡς δὲ ἐγένοντο κατά τι ὄρος, μὴ δυνάμενος ὑποφέρειν παρεκάλει τὴν ἡμίονον μέρος τι τοῦ γόμου αὐτοῦ προσδέξασθαι, ἵνα τὸ λοιπὸν αὐτὸς διακομίσαι δυνηθῇ. τῆς δὲ παρ' οὐδὲν θεμένης αὐτοῦ τοὺς λόγους ὁ μὲν κατακρημνισθεὶς διερράγη, ὁ δὲ ὀνηλάτης ἀπορῶν, ὅτι ποιήσει, οὐ μόνον τοῦ ὄνου τὸν γόμον τῇ ἡμιόνῳ προσέθηκεν, ἀλλὰ καὶ τὴν βύρσαν τοῦ ὄνου ἐπεσώρευσεν. ἡ δὲ οὐ μετρίως καταπονηθεῖσα ἔφη· „δίκαια πέπονθα. εἰ γὰρ παρακαλοῦντι τῷ ὄνῳ μικρὰ κουφίσαι ἐπείσθην, οὐκ ἂν νῦν μετὰ τοῦ αὐτοῦ φορτίου καὶ αὐτὸν ἔφερον.“

οὕτω καὶ τῶν δανειστῶν ἔνιοι, ἵνα μικρὰ τοῖς χρεώσταις μὴ παράσχωσι, πολλάκις καὶ αὐτὸ τὸ κεφάλαιον ἀπόλλουσιν.

---

192 Plut. de san. praec. 27 p. 137 D (*βοῦς καὶ κάμηλος*) Babr. 7 (*ὄνος καὶ ἵππος*)

---

192 — FCasECrA

---

8 *τῆς ἰδίας* F B *διὰ* om. E Cr A ‖ **9** *εἰς συμφορὰς ἑαυτοὺς ἐμβάλλοντες*] C F *εἰς συμφ. ἐνσειόμενοι* E *συμφοραῖς ἐνόμενοι* B *συμφορῶν αἰτίας ἔχοντες* A

192 **1** *τοὺς γόμους* F ‖ **2** *μὲν λεῖος τόπος* A ‖ **3** *ἐγένοντο*] Cas *ἐγένετο* cet. | *κατάπορος* E Cr *κατά τινα κρημνόν* A | *ὑποφ. μὴ δυν.* E Cr ‖ **5** *διακομίσαι δυνηθῇ*] F Cas *διακ. δύνηται* Cr *διακ. δυνήσεται* E (*δυνήσηται* St.) *διακομίσηται* A ‖ **7** *τί ποιήσει* F *τὸ τί ποιήση* Cas *ποιῆσαι* St. | *τὸν γόμον τοῦ ὄνου* A ‖ **8** *ἀλλὰ καὶ τὸν ὄνον ἐκδείρας* (cf. Babr. v. 13) *ἐπεσώρευσε* (*ἐπέθηκεν αὐτῇ* A) E Cr A ‖ **9** *καὶ ἡ οὐ* E ‖ **10** *τῷ ὄνῳ* F A om. cet. ‖ **11** *μετὰ τοῦ αὐτοῦ φορτίου*] Cas *μ. τοῦ φορτίου αὐτοῦ* F *μετ' αὐτῶν τῶν φορτίων αὐτοῦ* Cr E (*μετὰ τῶν φορτίων* St.) *μετὰ τῶν αὐτοῦ φορτίων* A ‖ **13** *ἵνα μικρὰ ἐπιτόκια λάβωσι* F Cas — an *μακρά?* ‖ **14** *προσαπόλλουσιν* Cas *ἀπολλύουσι* F A Cr *ἀπόλλυσιν* E (*ἀπολλῦσιν* St.)

193. *ΟΝΟΣ ΒΑΣΤΑΖΩΝ ΑΓΑΛΜΑ*

(Halm 324 Ch. 267)

ὄνῳ τις ἐπιθεὶς ἄγαλμα ἤλαυνεν εἰς πόλιν. πάντων δὲ τῶν συναντώντων προσκυνούντων τῷ ἀγάλματι ὑπολαβὼν ὁ ὄνος, ὅτι αὐτῷ προσκυνοῦσιν, ἀναπτερωθεὶς ὠγκᾶτο καὶ οὐκέτι περαιτέρω προβαίνειν ἐβούλετο. καὶ ὁ ὀνηλάτης αἰσθόμενος τὸ γεγονὸς τῷ ῥοπάλῳ αὐτὸν παίων ἔφη· „ὦ κακὴ κεφαλή, ἔτι καὶ τοῦτο λοιπὸν ἦν ὄνον ὑπ' ἀνθρώπων προσκυνεῖσθαι."

ὁ λόγος δηλοῖ, ὅτι οἱ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἐπαλαζονευόμενοι παρὰ τοῖς εἰδόσιν αὐτοὺς γέλωτα ὀφλισκάνουσιν.

194. *ΟΝΟΣ ΑΓΡΙΟΣ*

(Halm 321 Ch. 265)

(*I*) *ὄνος ἄγριος ὄνον ἥμερον θεασάμενος ἔν τινι εὐηλίῳ τόπῳ προσελθὼν ἐμακάριζεν αὐτὸν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον καὶ ῥοπάλοις αὐτὸν παίοντα εἶπεν· „ἀλλ' ἔγωγε οὐκέτι σε*

---

193 Luc. as. 37—40. 605—9 Babr. 163 tetr. I 36

---

193 (*I*) — CFCas — ECrA — **194** (*I*) — CFCasECrA — (*I*∧)

---

193 **1** *ἤλαυνεν* (*ἦγεν* A) *εἰς ἄστυ* EA ‖ **2** *τῶν δὲ* EA | *καὶ προσκ.* E Cr | *τὸ ἄγαλμα* EACas ‖ **3** *ὁ ὄν. ὑπ.* EA | *αὐτὸν* EA | *ὠγκᾶτό τε* EA ‖ **4** *προσιέναι* A Cr *προιέναι* F ‖ **6** *ἔτι*] Cr EA *ἔστι* C *ἔστη* F *αἴτει* Cas | *λεῖπον* A | *ἦν* om. CF Cas E | *ὄνον ὑπ' ἀνθρ. προσκυν.*] CFCrA *λοιπὸν ἠγνόουν σε ὑπὲρ ἄνθρωπον προσκ.* E (*λοιπὸν ἦν ὄνους ὑπ' ἀνθρώπων προσκ.* St.) *ἐὰν ὄνους ὑπὸ ἀνθρώπων προσκυνεῖσθαι ζητῇς* Cas in F adduntur versus hi *ὄνος σὺ τυγχάνεις, μὴ σκίρτα* | *μηδὲ νόμιζε σεαυτὸν θεὸν ὑπάρχειν* ‖ **8** *ἀλαζονευόμενοι* CF ‖ **9** *αὐτοῖς* E

194 (*I*) **1** *ἰδὼν* pro *θεασάμενος* A ‖ **3** *τῆς* om. F *τρυφῆς* A ‖ **4** *ὀπίσω* E | *ἐρχόμενον* Cas ‖ **5** *αὐτὸν* om. Cas E a | *ἀλλ' ἔγωγε* EA om. cet.

εὐδαιμονίζω. ὁρῶ γάρ, ὅτι οὐκ ἄνευ κακῶν μεγάλων τὴν ἀφθονίαν ἔχεις.“

οὕτως οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν περιγινόμενα κέρδη.

(*III*) *ὄνος ἄγριος ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ προσελθὼν αὐτὸν ἐμακάριζεν ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον καὶ ῥοπάλοις αὐτὸν παίοντα ἔφη· „ἀλλ᾿ ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γάρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.“*

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

195. *ΟΝΟΣ ΚΑΙ ΤΕΤΤΙΓΕΣ*

(Halm 337. 337b Ch. 279. 279b)

ὄνος ἀκούσας τεττίγων ᾀδόντων ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ καὶ ζηλώσας αὐτῶν τὴν ἡδύτητα εἶπε· „τί σιτούμενοι τοιαύτην φωνὴν ἀφίετε;“ τῶν δὲ εἰπόντων „δρόσον“ ὁ ὄνος προσπαραμένων τῇ δρόσῳ λιμῷ διεφθάρη.

---

195 Synt. 1 cf. infra

(*IIIβ*) (*IIIα*) accedit J (*γ*) **195** (*I*) Cas F E Cr B Ba — = Babr. ed. Cr. 224 (*I* a)

---

6 *εὐδαιμονίσω* Cas || **7** *ἀφθονίαν*] Cr Cas a *ἀφονίαν* F *ἀφωνίαν* E *εὐδαιμονίαν* C A || **8** epimythium fabulae insequentis in C | *εὐζήλωτα* E *ἔστι ζηλωτὸν* Cas *ἔστι ζηλοῦν* a | *τὰ* om. E | *μετὰ κινδύνων*] F A *μετὰ τῶν κινδ.* Cas *μετὰ μυρίων κινδ.* E || **9** *προσγινόμενα* A *γινόμενα* Cas an *παραγινόμενα*?

(*III*) **3** *τῆς* om. C P Goeth. (*β*) || **4** *ἑπόμενον ὄπισθεν* *β* Plan. || **5** *σε* om. *β* Plan.

195 **1** post *ᾀδόντων* in omnes praeter editionis minoris libros irrepsit *ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ καί.* interpolationem agnovit St. || **2** *ἡδύτητα εἶπε . . . ἀφίετε* (*ἀφιᾶσι* B) F Cas B *τὴν εὐφωνίαν* F *ἐπυνθάνετο . . . ἀφιᾶσι* E Cr a || **4** *προσπαραμένων*] Cas a *παραμένων* F Cr B *προσμένων δρόσον* E *προσμ. τῇ τροφῇ τῆς δρόσου* Cr mutila haec in A Ba qui *αὐτῶν τὴν φωνὴν ἐπέλαθε* (*ἐπελάθετο* Schn.) *καὶ τῆς οἰκείας φωνῆς* exhibent

οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες πρὸς τῷ μὴ ἐπιτυχεῖν, ὧν ἐφίενται, καὶ τὰ μέγιστα δυστυχοῦσιν.

196. *ΟΝΟΙ ΠΡΟΣ ΤΟΝ ΔΙΑ*

(Halm 319 Ch. 263)

(*I*) *ὄνοι ποτὲ ἀχθόμενοι ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία λύσιν τινὰ αἰτούμενοι τῶν πόνων. ὁ δὲ αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποταμὸν ποιήσωσι. κἀκεῖνοι αὐτὸν ἀληθεύειν ὑπολαβόντες ἀπ' ἐκείνου καὶ μέχρι νῦν, ἔνθα ἂν ἀλλήλων οὗρον ἴδωσιν, ἐνταῦθα καὶ αὐτοὶ περιιστάμενοι οὐροῦσιν.*

ὁ λόγος δηλοῖ, ὅτι τὸ ἑκάστῳ πεπρωμένον ἀθεράπευτόν ἐστι.

(*III*) *ὄνοι ποτὲ ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία λύσιν τῶν πόνων αἰτούμενοι. ὁ δ' αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποιήσωσι ποταμόν. κἀκεῖνοι αὐτὸν*

---

196 (*I*) — ECrASFCas — (*IIIβ*) (*IIIα*) accedunt J (*γ*) RA (*I*a)

5.6 *πρὸς τὸ* F, C (ad fab. 194) *παρὰ τῶ* Cas B *ἐπὶ τύχῃ ἐφικνεῖσθαι* B in brevius redacta haec quoque in ABa qui post *ἐπιθυμοῦντες* pergunt *καὶ ἃ ἔχουσι δυστυχοῦσι,* ubi *ἀποβάλλουσι* vel *ἀποβάλλοντες δυστυχοῦσι* exspectaveris — cf. epim. f. 144

196 (*I*) **2** *πρὸς τὸ διάλυσιν* E ‖ **3** *τῶν πόν. αἰτ.* Cas F conf. Acc. | *αὐτοῖς* om. Cas F S ‖ **4.5** *αὐτοὺς ἔφη τῆς κακ. ἀπαλλαγήσεσθαι* F *τότε αὐτοὶ ἀπαλλαγήσεσθε, ὅταν . . . ποιήσωσι* Cas *εἶπεν αὐτοῖς ἀπώσασθαι τὴν κακοπάθειαν* S ‖ **6** *καὶ* om. S ‖ **7** *μέχρι τοῦ νῦν* Cr S cf. Acc. | *ἔνθεν* Cas *ἔνθ. . . . ἴδωσιν* om. E | *ἴδωσιν ἢ ἕτερον* (*ἑτέρου* Cas) *ὑγρὸν* F Cas | *ἐνταῦθα* om. Cas S ‖ **8** *παραστάντες* Cas *περιστήσαντες* F *παριστάμενοι* Schn. ‖ **9** *πεπραμένον* E *ὅτι ἑκάστω* (= *ἕκαστον*?) *τῶν αἱρουμένων πεπραγμένον ἀθ.* F *ὅτι ἕκαστα καιρὸν περιμένων πεπρωμ. ἀθ.* S

(*III*) **1** *ποτὲ ἀχθόμενοι β* Plan.

ἀληθεύειν ὑπολαβόντες ἀπ' ἐκείνου καὶ μέχρι τοῦ νῦν, ἔνθα ἂν οὖρον ἑτέρων ἴδωσιν ὄνων, ἐνταῦθα καὶ αὐτοὶ περιιστάμενοι οὐροῦσιν.

ὁ μῦθος δηλοῖ, ὅτι ἑκάστῳ τὸ πεπρωμένον ἀθεράπευτόν ἐστιν.

197. *ΟΝΟΣ ΚΑΙ ΟΝΗΛΑΤΗΣ*

(Halm 335 Ch. 278)

ὄνος ὑπὸ ὀνηλάτου ἀγόμενος ὡς μικρὸν τῆς ὁδοῦ προῆλθεν, ἀφεὶς τὴν λείαν ἀτραπὸν διὰ κρημνῶν ἐφέρετο. μέλλοντος δὲ αὐτοῦ κατακρημνίζεσθαι ὁ ὀνηλάτης ἐπιλαβόμενος τῆς οὐρᾶς ἐπειρᾶτο μετάγειν αὐτόν. τοῦ δὲ εὐτόνως ἀντιπίπτοντος ἀφεὶς αὐτὸν ἔφη· „νίκα; κακὴν γὰρ νίκην νικᾷς.“

πρὸς ἄνδρα φιλόνεικον ὁ λόγος εὔκαιρος.

198. *ΟΝΟΣ ΚΑΙ ΛΥΚΟΣ*

(Halm 334b Ch. 282)

(*I*) *ὄνος ἔν τινι λειμῶνι νεμόμενος ὡς ἐθεάσατο λύκον ἐπ' αὐτὸν ὁρμώμενον, χωλαίνειν προσεποιεῖτο. τοῦ δὲ προσελθόντος αὐτῷ καὶ τὴν αἰτίαν πυνθομένου, δι' ἣν χωλαίνει, ἔλεγεν ὡς „φραγμὸν διαβαίνων σκόλοπα ἐπάτησα“ καὶ παρῄνει αὐτὸν πρῶτον ἐξελεῖν τὸν σκόλοπα, εἶθ' οὕτως αὐτὸν*

---

197 Babr. 162 proverbium *νικᾷ τὸν ὀνηλάτην* app. prov. IV 8 Par. Gott. I 437 Suidas e fabula ortum **198** cf. Babr. 122 tetr. I 21 Aphth. 9 cf. infra

---

197 (*I*) FCasECrA — **198** (*I*) — CFCasEA — cf. infra 257

---

7 *ἔνθα οὖρον* K (*a*), Ald. Kor. *ἂν οὐροῦντα ἕτερον ἴδωσιν ὄνον* Plan.

197 1 *ἀπὸ τῆς* F Cas || **2** *λεῖαν* (*λείαν* Cr) *εἰς κρημνὸν* ACr *λείαν ἀτὰρ διὰ* Cas | *διὰ κρημνὸν* F || **3** *κρημνίζεσθαι* F || **4** *περιάγειν* A *μεταπεριάγειν* E Cr || **5** *ἔφη· ὦ ὄνε* Cas || **7** ineptum hoc epimythium iure vocat Crus. Babr. 162

198 (*I*) **1** *τὸν λύκον* C F || **2** *χωλεύειν* atque **3** *χωλεύει* C F || **3** *πυνθανομένου* Cas E || **4** *διέβαινον καὶ* (*καὶ* om. Cas) C F Cas | *ἐπάτησε* A || **5** *αὐτῷ* E A *αὐτὸν* om. F

καταθοινήσασθαι, ἵνα μὴ ἐσθίων περιπαρῇ. τοῦ δὲ πεισθέντος καὶ τὸν πόδα αὐτοῦ ἐπάραντος ὅλον τε τὸν νοῦν πρὸς τὴν ὁπλὴν ἔχοντος ὁ ὄνος λὰξ εἰς τὸ στόμα τοὺς ὀδόντας αὐτοῦ ἐτίναξε. καὶ ὃς κακῶς διατεθεὶς ἔφη· „ἀλλ' ἔγωγε δίκαια πέπονθα. τί γὰρ τοῦ πατρός με μάγειρον διδάξαντος αὐτὸς ἰατρικὴν τέχνην ὑπελαβόμην;"

οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσιν.

(*III γ*) *ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει. λύκον δὲ ἰδὼν ἔφη αὐτῷ· „ὦ λύκε, ἰδοὺ ἐκ πόνου ἀποθνήσκω καὶ δεῖ με σοῦ γενέσθαι δεῖπνον ἢ γυπῶν ἢ κοράκων. χάριν δὲ μίαν αἰτῶ σε ἐξελεῖν πρῶτον τὸν σκόλοπα ἐκ τοῦ ποδός μου, ὅπως μὴ μετὰ πόνου τεθνήξομαι." ὁ δὲ λύκος ἄκροις ὀδοῦσι δακὼν τὸν σκόλοπα ἐξεῖλεν. ὁ ὄνος δὲ λυθεὶς τοῦ πόνου ἔτι τὸν λύκον χάσκοντα λακτίσας φεύγει, ῥῖνας, μέτωπον καὶ ὀδόντας συνθλάσας. ὁ δὲ λύκος ἔφη· „οἴμοι, δίκαια πάσχω, ὅτι μάγειρος εἶναι μαθὼν τὸ πρῶτον νῦν ἱππίατρος ἠθέλησα γενέσθαι."*

(*III γ*) — **Ff Vo Laud M L — accedunt B (Ib) mutilus. W (δ) — cf. par. Bodl. Kn. 106**

---

6 *περιπαρῇς* Cas *ἐσθίοντος περιπαρῇ* A ubi *τῷ φάρυγγι* supplendum censet Schn. | *ἐμπεισθέντος* (? evanida hodie) Cas || **8** *τῇ ὁπλῇ* E A *ὅλον τὸν νοῦν πρὸς τὸν σκόλοπα ὡς δῆθεν ἔχοντος* Cas | *λὰξ . . . ἐτίναξε*] E A sed praestat fortasse lectio cod. C F Cas *λὰξ εἰς τὸ στόμα αὐτοῦ ἀφεὶς τοὺς ὀδόντας αὐτοῦ ἐξετίναξε* ubi post *ἀφεὶς* ⟨*τοὺς πόδας*⟩ inserueris || **10** *μου* C | *μάγειρον . . . ὑπελαβόμην*] Cas *μαγ. διδ.* [*τὴν* F] *ἰατρ. τέχν. ὑπεβαλλόμην* C F *μαγειρικὴν τέχνην διδ. αὐτὸς ἰατρικῆς ἐπελαβόμην* A *μαγειρικὰς τέχνας διδ. αὐτὸς ἰατρικὰς* (*ἰατρικῆς* St.) *ἐπελαβόμην* E *ἰατρικὴν ἐπεβαλόμην* Cr || **12** *τοῖς μηδὲν*] C F *οἱ μή τι* Cas *οἱ μηδὲν* E A | *προσῆκον* A

(*III*) **1** *γυμνὸς* pro *χωλὸς* W || **4** *ἐξεῖλ . . .* Laud *ἐξεῖν* (sic) L || **5** *τεθνήξομαι*] L *-ωμαι* rel., Ch. | *ὁ* om. Laud || **7** *ἔτι* Laud *ἐπὶ* rel. cf. par. | *βλέποντα* pro *χάσκοντα* Laud || **10** *ἱπποίατρος* Laud L in his dissentit par. [1] *ἰδὼν καὶ φοβηθεὶς εἶπεν· ὦ λ., ἀποθν. ἐκ πόνου. καλὸν δέ μοί ἐστι σοῦ δεῖπνον γεν. ἢ γυπ. καὶ κορ.* [4] *ἐξελεῖν τοῦ ποδός μου πρ. τὸν σκόλοπα* [6] *δακὼν ἐξεῖλεν. ὁ δὲ λυθεὶς τοῦ π. τὸν λύκον ἔτι χάσκ. λακτίσας φεύγει ῥῖνα καὶ μέτ. καὶ ὀδ. συγκλάσας* [9] *ὅτι μάγειρος μαθὼν πρῶτον νῦν ἱπποίατρος ἐγενόμην. ὅτι τινὲς διπλοῖς κινδύνοις περιπεσόντες καὶ τοῖς ἐχθροῖς ὠφελεῖν πειρωμένοις δολίως ἀνταμοιβὴν κακὴν παρέσχον*

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τὰ οἰκεῖα ἐῶντες ἐπιτηδεύματα καὶ μεταχειριζόμενοι τὰ τούτοις μὴ ἀνήκοντα καὶ καταγελῶνται καὶ κινδυνεύουσιν.

199. *ΟΝΟΣ ΚΑΙ ΛΕΟΝΤΗ*

(Halm 336 Ch. 268)

(*I*) *ὄνος ἐνδυσάμενος λέοντος δορὰν περιήει ἐκφοβῶν τὰ ἄλογα ζῷα. καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. ἡ δέ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, ἔφη πρὸς αὐτόν· ,,ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.''*

οὕτως ἔνιοι τῶν ἀπαιδεύτων τοῖς ἔξωθεν τύφοις δοκοῦντές τινες εἶναι ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

(Ch. 280)

(*III γ*) *ὄνος δορὰν λέοντος ἐπενδυθεὶς λέων ἐνομίζετο πᾶσιν. καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ καὶ ποιμνίων. ὡς δ' ἀνέμου πνεύσαντος τὴν δορὰν ἀφῃρέθη καὶ γυμνὸς γέγονε τῆς ἐκ ταύτης σκέπης, τότε πάντες ἔπαιον ῥοπάλοις τε καὶ ξύλοις.*

---

199 (*III*) Luc. pisc. 32 fugit. 13 philops. 5 pseudol. 3 (*ὄνος ἐν Κύμῃ*), Aphth. 10 cf. infra, Themist. 4 cf. infra p. 135. proverbium *ὄνος εἰς Κυμαίαν* Apost. XII 84 Babr. 139 tetr. I 19 II 23 Av. 5

---

199 (*I* 197) — FCas.CrEAB — (*III γ*) (*Φ* = Ff) Vo (= cod. Huds. Hptm. Kor. 258) Laud Salm. *Γ* (G. Go Gorl. Harl. Bo Laud EOFf) = par. 99 Kn.

---

199 (*I*) **1** *δέρμα* A || **3** *γὰρ* om. Cr *φθεγξαμένου προακηκουῖα*] A *φθ. προσακήκοα* B *φθ. προακούσασα* F *ὡς ἔτυχεν ἀκούσασα αὐτοῦ φθεγξ.* Cas *προακηκοέναι φθεγξ.* E || **4** *πρὸς τὸν ὄνον* F E Cr, om. in Cas | *ὡς οὐκ* (*καὶ* St.) *ἐγὼ* E *εὖ ὤν ἴσθι ὄνε κἀγὼ ἂν* B || **5** *ἄν σε* om. F | *ὀγγόμενον* F *ὀγκούμενον* Cas || **6** *τῶν ἀνθρώπων* F Cas B | *τυφλοῖς* E CrAB || **7** *τινὲς* om. Cr

(*III γ*) **2** alterum *καὶ* om. par. Salm. || **3** *ἡ δορὰ περιῃρέθη* par. | *καὶ γυμνὸς ὁ ὄνος ἦν* par. || **4** *τῆς ἐκ τῆς ταύτης* par. *Φ* (*γ*) *τῆς ταύτης* G | *τότε δὴ πάντες ἐπιδραμόντες ξύλ. κ. ῥοπ. αὐτὸν ἔπαιον* Salm.

ὁ μῦθος δηλοῖ, ὅτι πένης ὢν μὴ μιμοῦ τὰ πλουσίων, μή πως γελασθῇς καὶ κινδυνεύσῃς πλέον.

(*III*) *ὄνος ἐνδυσάμενος λεοντῆν περιῄει τἄλλα τῶν ζῴων ἐκφοβῶν καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. ἡ δέ — ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα — πρὸς αὐτὸν ἔφη· „ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα."*

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων τοῖς ἔξω δοκοῦντές τινες εἶναι ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

200. *ΟΝΟΝ ΑΓΟΡΑΖΩΝ*

(Halm 320 Ch. 264)

ὄνον τις ἀγοράζων ἐπὶ πείρᾳ αὐτὸν ἔλαβε καὶ εἰσαγαγὼν εἰς τοὺς ἰδίους ἐπὶ τῆς φάτνης αὐτὸν ἔστησεν. ὁ δὲ καταλιπὼν τοὺς ἄλλους παρὰ τῷ ἀργοτάτῳ καὶ ἀδηφάγῳ ἔστη καὶ ὃς οὐδὲν ἐποίει. δήσας οὖν καὶ ἀπάγων τῷ δεσπότῃ αὐτὸν ἀπέδωκε. τοῦ δὲ διερωτῶντος, εἰ οὕτως ἀξίαν αὐτοῦ τὴν δοκιμασίαν ἐποιήσατο, ὑπολαβὼν εἶπεν· „ἀλλ' ἔγωγε οὐδὲν ἐπιδέομαι πείρας. οἶδα γάρ, ὅτι τοιοῦτός ἐστι, ὁποῖον ἐξ ἁπάντων τὸν συνήθη ἐξελέξατο."

(*III β*) (*III α*) accedunt J (γ) RA (*I* a) **200** (*I*) FE – (*I* a)

---

6 *πένης καὶ ἰδιώτης* par. | *τὰ τῶν* par. || **7** *μήποτε καταγελ. κ. κινδυνεύσῃς* par.

(*III*) **3** *δεδείττεσθαι α* Acc. || **6** *ὅτι οὕτως β*, cod. deter. in *α*

200 **1** *ἀγοράζων*] F *ἀγοράσαι μέλλων* E *ἀγοράζειν μ.* a | *ἐπὶ δοκιμασίᾳ καὶ πείρᾳ* a *ἐπὶ πεῖραν* FE || **2** *ἔδησεν* F || **3** *ἐπὶ τὰ λαιμαργότατα καὶ ἀδήφαγα* F || **4** *ἔστη καὶ ὃς οὐδὲν ἐποίει. δήσας οὖν καὶ*] a *ἔστη· καὶ ὡς οὐδὲν ἐποίει, δήσας* (*καὶ* ins. St.) *ἀπαγαγὼν* (*ἀπάγων* F) . . . *ἀπέδωκεν* FE non ad probandum illum asellum haec verba spectant, sed ad comitem, quem ille sibi elegit. quod qui non intellexit Halmius uncis haec saepsit || **5** *τοῦτον ἀπ.* a | *οὕτω ταχεῖαν* a *ὀξεῖαν* Bölte || **6** *αὐτοῦ τὴν δοκ. ἀξίαν* F || **7** *ἔτι δέομαι* F

ὁ λόγος δηλοῖ, ὅτι τοιοῦτος εἶναί τις ὑπολαμβάνεται, ὁποίοις ἂν ἥδηται τοῖς ἑταίροις. □

201. *ΟΝΟΣ ΚΑΙ ΒΑΤΡΑΧΟΙ*

(Halm 327 Ch. 272)

(*I*) □ *ὄνος ξύλων γόμον φέρων λίμνην διέβαινεν. ὀλισθήσας δέ, ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος ὠδύρετό τε καὶ ἔστενεν. οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι ἀκούσαντες αὐτοῦ τῶν στεναγμῶν ἔφασαν· ,,ὦ οὗτος, καὶ τί ἂν ἐποίησας, εἰ τόσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ;''*

τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα αὐτὸς πλείονας ῥᾳδίως ὑφιστάμενος.

(*III*) *ὄνος ξύλα βαστάζων διέβαινέ τινα λίμνην. ὀλισθήσας δὲ ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος ὠδύρετό τε καὶ ἔστενεν. οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι τῶν στεναγμῶν τούτου ἀκούσαντες ,,ὦ οὗτος'', ἔφασαν, ,,καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ;''*

τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα αὐτὸς τοὺς πλείους ῥᾳδίως ὑφιστάμενος.

---

201 (*I*) — CFCasECrA — (*IIIβ*) (*IIIα*) accedunt J(*γ*) R A (*I*a)

---

9 *εἶναί τις*] F, om. in E *τοιοῦτος ἕκαστος* a quod recepit St. || **10** *ὁποίοις ἂν ἥδηται τ. ἑταίροις*] St. *ὁποῖος ἂν εἴδηται* (*ἥδεται* F) *τοῖς ἑτέροις* F E *ὁποίοις ἑταίροις συναναστρέφεται* a

201 1 *ξύλα βαστάζων διέβαινέ τινα ποταμὸν* A *λίμνην* suprascr. manus eadem | *ὀλισθήσας δὲ ὡς*] A *ὡς δὲ ὀλισθήσας* F Cas *ὡς δὲ ὀλισθὼν* C *ὀλισθὼν δὲ ὡς* E Cr || **2** *τε* om. F Cas || **4** *τὸν στεναγμὸν* F E | *καὶ* om. C || **5** *διέτριβες ἐνταῦθα* F Cas *ἐνταῦθα* om. C | *ὅτι* C F Cas || **6** *οὕτως* om. Cas || **8** *τοὺς πλείονας* Cas E Cr A

(*III*) **5** *ἐνταῦθα* om. C P (*β*) || **8** *πλείονας* H L P Q (*β*)

202. *ΟΝΟΣ, ΚΟΡΑΞ ΚΑΙ ΛΥΚΟΣ*

(Halm 330 Ch. 275)

(*I*) *ὄνος ἡλκωμένος τὸν νῶτον ἔν τινι λειμῶνι ἐνέμετο. κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ καὶ τὸ ἕλκος κρούοντος ὁ ὄνος ὠγκᾶτό τε καὶ ἐσκίρτα. τοῦ δὲ ὀνηλάτου πόρρωθεν ἑστῶτος καὶ γελῶντος λύκος παριὼν ἐθεάσατο καὶ πρὸς ἑαυτὸν ἔφη· ,,ἄθλιοι ἡμεῖς, οἵ, κἂν αὐτὸ μόνον ὀφθῶμεν, διωκόμεθα, τούτῳ δὲ καὶ †προσιόντι προσγελῶσι.''*

ὁ λόγος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων καὶ ἐξ ἀπόπτου δῆλοί εἰσιν.

(*III*) *ὄνος ἡλκωμένος τὸν νῶτον ἔν τινι λειμῶνι ἐνέμετο. κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ καὶ τὸ ἕλκος ξαίνοντος ὁ ὄνος ὠγκᾶτο καὶ ἥλλετο. τοῦ δὲ ὀνηλάτου πόρρωθεν ἱσταμένου καὶ γελῶντος λύκος παριὼν αὐτὸν εἶδε καὶ ἔφη· ,,ἄθλιοι ἡμεῖς, ⟨οἵ⟩, κἂν μόνον ὀφθῶμεν αὐτῷ, διωκόμεθα, τούτῳ δὲ καὶ προσεγγελῶσιν''*

ὁ μῦθος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων καὶ μόνον φανέντες δῆλοί εἰσιν.

---

202 (*I*) — FCasECrA — (*I* a) (*III β*) (*III α*) accedit J (*γ*)

---

202 1 *ἐπί τινι* A | *ἐτρέφετο* Cas *αὐτὸν* F || 3 *ἀλγῶν ὠγκ.* A a | *τε* om. F Cas A || 4 *στάντος* A || 5 *ἑαυτὸν*] F a *αὐτὸν* cet. | *εἰ κἂν* A *αὐτὸ μόνον*] Chr. Schneider ,,si tantum, nihil aliud nisi conspecti fuerimus'', *αὐτῶ μόνον* (*μόνω* Cas) codd. *μόνον ὀφθῶμεν αὐτῷ* Acc. || 6 *τούτῳ δὲ καὶ † προσιόντι προσγ.*] interim scripsi. *τούτοις δὲ καὶ πρὸς ἰοῦσι προσγ.* F *τούτους δὲ καὶ προσιόντας προσγελῶσι* Cr Cas *καὶ ἰόντας γελῶσι* E (*τούτου δὲ καὶ προσιόντος γελῶσιν* St.), *οὗτοι δὲ καὶ προσγελῶσιν* A *κόραξιν δὲ καὶ προσγελῶσιν* a — *τούτῳ δὲ καὶ προσεγγελῶσιν* Acc. excidisse aliquid ante *προσγελῶσιν* mihi certum videtur, sed *προσιόντι* quoque languidum vel potius de ave dictum ineptum. an *ὑβρίζοντι? προσίζοντι* Bölte || 7 *καὶ ἐξ αὐτῶν προσώπων καὶ ἐξ ἀπροόπτου* E dittographiam sustulit Ch || 8 *ἀπόπτου*] Halm St. *ἀπροόπτου* libri | *δηλοποιοῦνται* a

(*III*) 2.3 *ἀλγῶν ὠγκᾶτο β* (praeter Q) Plan., J (*γ*) *ἀγανακτήσας ὠγκᾶτο* Q (*β*) | *ἥλλετο*] Kor. *ἥλλατο* H L I P J, Goeth (*β*) *ἥλατο* rel. || 5 *οἵ* inser. Ald. || 6 *οὗτοι δὲ β* (*τούτω* L) Plan. fuisse videtur *τούτῳ δὲ καὶ προσ⟨ιόντι⟩ ἐγγελῶσιν*, sed cf. ad. I

203. *ΟΝΟΣ, ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ*

(Halm 326 Ch. 271)

ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον ἐπὶ ἄγραν. λέοντος δὲ αὐτοῖς περιτυχόντος ἡ ἀλώπηξ ὁρῶσα τὸν ἐπηρτημένον κίνδυνον προσελθοῦσα τῷ λέοντι ὑπέσχετο παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγείληται. τοῦ δὲ αὐτὴν ἀπολύσειν φήσαντος προσαγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον πρῶτον τὴν ἀλώπεκα συνέλαβεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη. (*I*) □

οὕτως οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ ἑαυτοὺς συναπολλύντες.

ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον εἰς ἄγραν. λέοντος δ' αὐτοῖς περιτυχόντος ἡ ἀλώπηξ τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον προσελθοῦσα τῷ λέοντι παραδώσειν αὐτῷ τὸν ὄνον ὑπέσχετο, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος ἐκείνη παραγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον πρώτην τὴν ἀλώπεκα συνέσχεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη. (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ αὑτοὺς προσαπολλύντες.

---

203 (*I*) — CFCasCrOEA = Babr. ed. Crus. 222 (*I* a) (*III β*) (*III α*) accedit J (*γ*)

---

203 (*I*) **2** *εἰς ἄγραν* A *ἐπὶ τὴν* C | *παρατυχόντος* Cas *περιτ. αὐτοῖς* E ‖ **3** *ἐπηρτισμένον* E ‖ **4** *αὐτῷ* om. C F | *τι τῶν ἀκινδύνων* E ‖ **5** *ἐπαγγείληται*] O E Cr *ἐπαγγέληται* C *ἐπαγγήληται* F *ἀπαγγέληται* Cas *ἐπαγγέλληται* a | *ἀπολύειν* F Cas a ‖ **6** *προσάγουσα* F O a *παραγαγοῦσα* A | *εἰς τὴν παγίδα* Cas *εἴς τινα παγίδα* a | *παρεσκεύασεν. ὁ δὲ* O ‖ **7** *φυγεῖν* C Cas ‖ **8** *πρώτην* F Cas Cr | *συνέσχεν* A ‖ **9** *ἐτράπη ἐπὶ τ. ὄ.* F ‖ **11** *ἑαυτοῖς* O | *συναπολύντες* E a *ἀπολλύντες* A *ἀναπόλλυνται* Cr

(*III*) **8** *πρῶτον β*, Plan. ‖ **11** *προσαπολλύντες*] Kor. *προσαπολύντες* D (*α*) *παραπολύντες* Q (*β*) *προσαπολοῦντες* cet. Acc. Plan.

204. *ΟΝΟΣ ΚΑΙ ΗΜΙΟΝΟΣ*

(Ch. 273)

ὄνος καὶ ἡμίονος ἐν ταὐτῷ ἐβάδιζον. καὶ δὴ ὁ ὄνος ὁρῶν τοὺς ἀμφοῖν γόμους ἴσους ὄντας ἠγανάκτει καὶ ἐσχετλίαζεν, εἴγε διπλασίονος τροφῆς ἠξιωμένη ἡ ἡμίονος οὐδὲν περιττότερον βαστάζει. μικρὸν δὲ αὐτῶν τῆς ὁδοῦ προιόντων ὁ ὀνηλάτης ὁρῶν τὸν ὄνον ἀντέχειν μὴ δυνάμενον ἀφελόμενος αὐτοῦ τὸ φορτίον τῇ ἡμιόνῳ ἐπέθηκεν. ἔτι δὲ αὐτῶν πόρρω προβαινόντων ὁρῶν τὸν ὄνον ἔτι μᾶλλον ἀποκάμνοντα πάλιν ἀπὸ τοῦ γόμου μετετίθει, μέχρις οὗ τὰ πάντα λαβὼν καὶ ἀφελόμενος ἀπ' αὐτοῦ τῇ ἡμιόνῳ ἐπέθηκεν. καὶ τότε ἐκείνη ἀποβλέψασα εἰς τὸν ὄνον ἔφη· „ὦ οὗτος, ἆρά σοι δικαίως δοκῶ τῆς διπλῆς τροφῆς ἠξιωμένη;"

ἀτὰρ οὖν καὶ ἡμᾶς προσήκει μὴ ἀπὸ τῆς ἀρχῆς, ἀλλ' ἀπὸ τοῦ τέλους τὴν ἑκάστου δοκιμάζειν διάθεσιν.

205. *ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΠΕΡΔΙΞ*

(Ch. 286)

(*I*) *ὀρνιθοθήρας ὀψιαίτερον αὐτῷ ξένου παραγενομένου μὴ ἔχων, ὅτι αὐτῷ παραθείη, ὥρμησεν ἐπὶ τὸν τιθασὸν πέρδικα*

---

205 Synt. 26 cf. infra

---

204 (*I*) — F E, e (= Min.) **205** (*I*) — E (ex *I* a petita?)

---

204 1 *ὁ* om. E || 4 *βαδίζει* F || 5 *ὁρῶν* om. F || 6 *τοῦ φορτίου* exspectaveris || 7 *ἔτι δὲ* . . . (10) *ἐπέθηκεν* om. F | *τὸν ὄνον* deest in E || 8 *πάλιν τοῦ γόμου* Min. | *μετετίθει*] F *μετετέθη* E *μετετίθετο* Min. an *μετετίθει τι?* | *μέχρις οὗ τὰ πάντα*] scr. Minam secutus, qui *μέχρις οὗ πάντα* dedit *μέχρι τὰ πάντα* E F || 10 *ἐκεῖνος ἀποβλέψας* E St. | *εἰς τὸν ὄνον* F *εἰς αὐτὸν* E *πρὸς αὐτὸν* Min. || 11 *ἆρα οὐ δ.* F an *ἆρα νῦν?* | *δικαίως*] F *δικαία* Min. *δίκαιος* E St. | *ἀξιωθῆναι* F *ἀξιωμένη* Min. *ἠξιωμένη* . . . St., qui — codicis E lectioni innisus — *τῇ* quoque pro *τῆς* scribendum censet (diluc. Aes. p. 395) perperam locum ita interpretatus: nunc tibi videor iustus erga mulam duplici cibo dignatam? sed mula loquitur non mularius.

205 1 *ὀψαίτερον* Min. || 2 *τιθασσὸν* Min. St.

καὶ τοῦτον θύειν ἔμελλε. τοῦ δὲ αἰτιωμένου αὐτὸν ὡς ἀχάριστον, εἴγε πολλὰ ὠφελούμενος παρ' αὐτοῦ τοὺς ὁμοφύλους ἐκκαλουμένου καὶ παραδιδόντος αὐτὸς ἀναιρεῖν αὐτὸν μέλλει, ἔφη· „ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύσω, εἰ μηδὲ τῶν ὁμοφύλων ἀπέχῃ."

ὁ λόγος δηλοῖ, ὅτι οἱ τοὺς οἰκείους προδιδόντες οὐ μόνον ὑπὸ τῶν ἀδικουμένων μισοῦνται, ἀλλὰ καὶ ὑπὸ τούτων, οἷς προδιδόασιν.

versibus inclusam exhibent in II *πέρδιξ καὶ κυνηγέτης* = Ch. 301 VOPCas (= Ch. 301) (T = Ch. 301b). ita decurtata legitur in BrN (*III δ*)

πέρδιξ καὶ κυνηγός

(Ch. 301c)

πέρδικά τις ἀγρεύσας ἤθελε ταύτην καταθῦσαι. ἡ δὲ παρεκάλει ἐαθῆναι καὶ πολλὰς πέρδικας προσάξει τῷ κυνηγέτῃ. ὁ δὲ κυνηγός· „διὰ τοῦτο μᾶλλόν σε ἐγὼ θύσω, ὅτι τοὺς συγγενεῖς σου ἐνεδρεῦσαι θέλεις." (*III δ*)

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοὺς φίλους προδιδόντες αὐτοὶ ἐν ταῖς ἐνέδραις ἐμπίπτουσιν.

206. *ΟΡΝΙΣ ΚΑΙ ΧΕΛΙΔΩΝ*

(Halm 342 Ch. 287)

ὄρνις ὄφεως ᾠὰ εὑροῦσα καὶ ταῦτα ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. χελιδὼν δὲ θεασαμένη αὐτὴν ἔφη· „ὦ ματαία, τί ταῦτα ἀνατρέφεις, ἅπερ, ἂν αὐξηθῇ, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;" (*I*)

(*III δ*) BrN 206 (*I*) — CFCasECrAB — (*I* a) Synt. 57 cf. infra

---

3 *ἀχαρίστου* Min. ‖ 4 *εἴγε*] *ὅτι* scribendum esse plurimis locis allatis probare conatur St. dil. Aes. 398—99 ‖ 5 *προδίδονται* Min. Ch.

(*III δ*) 2 *ἐαθῆναι*] Char. *οἰαθῆναι* Br *ἐκθῆναι* N *ἐκλυθῆναι* Ch. | *προσάξαι* N ‖ 3 *τοὺς συγγενεῖς σου* Ch.] *τοὺς συγγεννία σου* N *τοὺς φίλους σου* Br ‖ 5 *ὁ τοὺς φίλους μηχανόμενος ἐν ταῖς ἐν. ἐμπεσεῖται* Br

206 1 *ᾠὰ* om. F | *καὶ* om. EAa | *εὑρ. ἐπιμελῶς ἐθέρμανε καὶ μετὰ τὸ θερμᾶναι ἐξεκόλαψε* E ‖ 2 *ἐξεκάλυψε* C F Cas *ἐξέθρεψε* a ‖ 3 *ἐκτρέφεις* C Fa | *αὐξηνθῇ* F *αὐξηθῶσιν* B *αὐξήσῃ* a | *πρῶτον* A ‖ 4 *τὸ ἀδικεῖν* C F Cas A | *ἄρξηται* C *ἄρξονται* Cas

οὕτως ἀτιθάσευτός ἐστιν ἡ πονηρία, κἂν μάλιστα εὐεργετῆται.

(*III*) *ὄρνις ὄφεως ᾠὰ εὑροῦσα ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. χελιδὼν δὲ θεασαμένη αὐτὴν ἔφη· „ὦ ματαία, τί ταῦτα τρέφεις, ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται;“*

ὁ μῦθος δηλοῖ, ὅτι ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

207. *ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΚΟΡΥΔΑΛΟΣ*

(Halm 340 Ch. 284)

(*I*) *ὀρνιθοθήρας πτηνοῖς πάγην ἵστα. κορυδαλὸς δὲ αὐτὸν θεασάμενος ἤρετο, τί ποιεῖ. τοῦ δὲ εἰπόντος πόλιν κτίζειν καὶ μικρὸν ὑποχωρήσαντος πεισθεὶς αὐτοῦ τοῖς λόγοις προσῆλθε καὶ τὸ δέλεαρ ἐσθίων ἔλαθεν ἐμπεσὼν εἰς τοὺς βρόχους. τοῦ δὲ ὀρνιθοθήρα προσδραμόντος καὶ συλλαβόντος αὐτὸν ἔφη· „ὦ οὗτος, ἐὰν τοιαύτας πόλεις κτίζῃς, πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις.“*

[*ὁ λόγος δηλοῖ, ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεποὶ ὦσιν.*]

---

207 (*I*) FEOA (*I* a)

(*III β*) (*III α*) accedit J (*γ*) **207** FOECrA — (*I* a)

(*I*) **5** *ἀτιθάσσευτοι* A Cr a St. Ch.

(*III*) **1** *ἐξεκάλυψε* G (*β*) || **5** *τὰ μάλιστα* QVrat. (*β*)

207 (*I*) **1** *ἵστη* E *ἐφίστα* F | *κορύδαλος* F E *κόρυδος* Aa || **2** *ἠρώτα* FACr | *κτίζει* O || **3** *αὐτοῦ τοῖς λόγοις*] F *τοῖς λόγοις* Cr *τοῖς δόλοις* O EAa | *προσῆλθεν. ἐσθίων δὲ τὸ δέλεαρ* A || **4** *ἐμπεσεῖν* E || **6** *ὁ κόρυδος* (*κορύθαλος* Cr) *ἔφη* ACr | *ὦ οὗτος* om. A | *οὐ πολλοὺς* Reiskia, editores. cf. Acc. sed per ironiam haec dicta sunt, ut recte sensit Chr. Schneider adnot. crit. p. 19. || epimythium seclusi quod huc non quadrare vidit Kor. p. 305 || **8** *μάλιστα οἶκοι* E || **9** *χαλεπὰ ποιῶσιν* ACr *Δηλοῖ, ὅτι ἡ πανουργία τῶν πονηρῶν ἀνθρώπων ἐν τοῖς ἀποτελέσμασι γνωρίζεται* p

(*II*) *ὀρνιθοθήρας πτηνοῖς παγίδας ἵστη· κορυδαλὸς δὲ τοῦτον θεασάμενος ἠρώτα μακρόθεν ἑστώς· „τί ἐργάζῃ;" τοῦ δὲ εἰπόντος· „πόλιν κτίζω" καὶ μικρὸν ὑποχωρήσας ἐκρύβη. ὁ δὲ κορυδαλὸς πεισθεὶς τοῖς λόγοις τοῦ ἀνδρὸς προσῆλθε τῷ τόπῳ καὶ τὸ δέλεαρ ἐσθίων ἔλαθεν [καὶ] εἰς τοὺς βρόχους ἐμπεπτωκώς. ὁ δὲ ὀρνιθοθήρας δραμὼν ἀνελάβετο αὐτόν. ὁ δὲ κορυδαλὸς ἔφη αὐτῷ· „ὦ οὗτος, ἐὰν τοιαύτην πόλιν κτίζῃς, πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις."*

[ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.]

(*III*) *ὀρνιθοθήρας ὄρνισιν ἵστη παγίδας. κορυδαλὸς δὲ τοῦτον πόρρωθεν ἰδὼν ἐπυνθάνετο, τί ποτ' ἐργάζοιτο. τοῦ δὲ πόλιν κτίζειν φαμένου, εἶτα δὲ πορρωτέρω ἀποχωρήσαντος καὶ κρυβέντος ὁ κορυδαλὸς τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας παρελθὼν εἰς τὸν βρόχον ἑάλω. τοῦ δὲ ὀρνιθοθήρα ἐπιδραμόντος ἐκεῖνος εἶπεν· „ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας."*

[ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.]

(*II*) — V O Mo Br Cas L Accurs. sequitur T vers. comp. = Ch. 284 d (*III δ*) — N —, M. Accurs. sequitur

(*III γ* 95) (*III β* 92) (*III α* 46) accedit M (δ)

(*II*) **1** *παγίδα* N *πάγας* Mo | *ἵστησιν* Mo *ἦσθι* Br *ἵστα* Cas | *κορκόδηλος* — atque idem 3. 5. Br || **2** *τί ἄρα* Br N *τί ἐργ. λέγων* Mo || **3** *ὑποχ. μικρὸν* Mo *ὑποχωρήσαντος καὶ κρυβέντος ὁ κορ.* Cas || **5** *ἔλαθεν . . . ἐμπεκτωκώς*] scr. *ἔλ. καὶ ἐμπεπτώκει* V O Mo *ἔλ. ἐμπεσὼν εἰς τοὺς βρ.* Cas *ἠγρεύθη εἰς τοὺς βρόχους* Br N || **6** *ἀνέλαβεν* Br N || **7** *ἔφη δὲ αὐτὸν ὁ κορ.* Mo *αὐτ.* om. Br N *καὶ ὁ κορ., ὦ οὗτος, ἔφη* Cas | *τοιαύτας πόλεις* Mo, Cas *τὰς πόλεις* O *τοιαύτην πόλιν* Br N || **8** ⟨*οὐ*⟩ *πολλοὺς* Fu. sed cf. ad *I* | *τοὺς* om. Br N Cas || de epimythio cf. ad *I* || **9** *καὶ* ante *οἶκοι* om. Br N *οἶκος* Br || **10** *χαλεποὶ ὦσιν* Cas *ἐνεδρεύωσι* N *χαλεπαίνωσι καὶ κακῶς οἰκονομῶσι* Mo

(*III*) **5** *ὀρνιθοθῆρος* K (α) *ὀρνιθοθήρου* C Q (β), Kor. || **7** *οὐ* om. M (δ), γ (praeter L), β || **9** *χαλεπαίνονται* L M Laud (γ)

208. *ΟΡΝΙΘΟΘΗΡΑΣ ΚΑΙ ΠΕΛΑΡΓΟΣ*

(Halm 100b Ch. 285)

ὀρνιθοθήρας δίκτυα γεράνοις ἀναπετάσας πόρρωθεν ἀπεκαραδόκει τὴν ἄγραν. πελαργοῦ δὲ σὺν ταῖς γεράνοις ἐπικαθίσαντος ἐπιδραμὼν μετ' ἐκείνων καὶ αὐτὸν συνέλαβε. τοῦ δὲ δεομένου μὴ θῦσαι αὐτὸν καὶ λέγοντος, ὡς οὐ μόνον αὐτὸς ἀβλαβής ἐστι τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ὠφελιμώτατος· τοὺς γὰρ ὄφεις καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων ἀναιρεῖ, ὁ ὀρνιθοθήρας ἀπεκρίνατο· „ἀλλ' εἰ τὰ μάλιστα οὐ φαῦλος εἶ, διὰ τοῦτο γοῦν ἄξιος εἶ κολάσεως, ὅτι μετὰ τῶν πονηρῶν κεκάθικας."

ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τὰς τῶν πονηρῶν συνηθείας ἀποφεύγειν, ἵνα μὴ καὶ αὐτοὶ τῆς αὐτῶν κακίας κοινωνοὶ δόξωμεν.

209. *ΠΕΡΙΣΤΕΡΑΙ ΑΓΡΙΑΙ ΚΑΙ ΗΜΕΡΑΙ*

(Ch. 283)

ὀρνιθοθήρας πετάσας τὰ λίνα ἐκ τῶν ἡμέρων περιστερῶν προσέδησεν· εἶτα ἀποστὰς αὐτὸς πόρρωθεν ἀπεκαραδόκει τὸ μέλλον. ἀγρίων δὲ ταύταις προσελθουσῶν καὶ τοῖς

---

208 Aphth. 14 cf. infra. versibus inclusam praebet II = Ch. 285a

209 hanc fabulam, quae in editionis minoris tantum libris tradita est, primus edidit Knoell — ex codice Harleiano — Ztschr. f. öst. Gymn. 1876, 166 — fugerat Neveletum in K codice quoque hanc fabellam inesse. hoc loco inserenda videbatur, quia ad exemplar antecedentis fabulae expressa est.

---

208 (*I*) — CasFOECrA — **209** (*I*a)

---

208 **1** *ἀπεκαραδόκει*] O E *ἐθεώρει* cet. || **2** *τοῖς γεράνοις* F Cas A O Cr || **3** *καθίσαντος*] A Cr || **4** *μὴ θῦσαι*] F Cas A *μεθεῖναι* O E Cr | *καὶ* om. E || **5** *ἐπιβλ.* E (*οὐκ ἐπιβλ.?* St.) *αὐτὸς* om. A | *τοῖς ἀνθρ. ἐστὶν* A || **7** *κατεσθίει* pro *ἀναιρεῖ* O E *ἀναιρεῖται* Halm | *ἔφη* Cas F A Cr | *ἀλλ' . . . εἶ* Cas *ἀλλ' εἰ τὰ μ. σὺ ὁ (= οὐ) φ. εἶ* F *ἀλλ' ἀεὶ τ. μ. μὴ φ. οὐ σὺ εἶ* E *ἀλλ' εἰ τὰ μ. σὺ φ. εἶ οὐδαμῶς* O *ἀλλὰ μάλ. σὺ φαῦλος ὑπάρχεις* (*ὑπῆρχες* Cr) A Cr || **8** *δι' αὐτὸ τοῦτο* E *γοῦν* om. F Cas A *καὶ διὰ τοῦτο κολ. ἄξιος, ἐπειδὴ* A || epimythium deest in O || **10** *περιφεύγειν* E Cr *φεύγειν* Cas || **11** *κοινωνεῖν* Cas E Cr

βρόχοις συμπλακεισῶν προσδραμὼν συλλαμβάνειν αὐτὰς ἐπειρᾶτο. τῶν δὲ αἰτιωμένων τὰς ἡμέρους, εἴγε ὁμόφυλοι οὖσαι αὐταῖς τὸν δόλον οὐ προεμήνυσαν, ἐκεῖναι ὑποτυχοῦσαι ἔφασαν· „ἀλλ' ἡμῖν γε ἄμεινον δεσπότας φυλάττεσθαι ἢ τῇ ἡμετέρᾳ συγγενείᾳ χαρίζεσθαι." □

οὕτω καὶ τῶν οἰκετῶν οὐ μεμπτέοι εἰσίν, ὅσοι δι' ἀγάπην τῶν οἰκείων δεσποτῶν παραπίπτουσι τῆς τῶν οἰκείων συγγενῶν φιλίας.

210. *ΚΑΜΗΛΟΣ*

(Halm 180 Ch. 149)

(*I*) *ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. ὡς δὲ χρόνου προϊόντος συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. αἰσθόμενοι δὲ κατὰ μικρὸν ὡς χολὴν τὸ ζῷον οὐκ ἔχει εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες παισὶν ἐλαύνειν ἔδωκαν.*

ὁ λόγος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει.

(*III*) *ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. ὡς δὲ χρόνου προϊόντος συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῷον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥστε καὶ χαλινοὺς αὐτῇ περιθέντες παισὶν ἐλαύνειν δεδώκασιν.*

---

210 (*I*) CasECrA – (*I*a) (*IIIβ*) (*IIIα*) accedit J (*γ*)

---

209 10 *οἰκείων* et ante *δεσποτῶν* et ante *συγγενῶν* positum molestum. sed in tali scriptore fortasse et haec ferenda

210 (*I*) 1 *πρώτως* E *πρῶτος* Cr *πρωτοκάμηλος* Cas ‖ 2 *ἔφυγον* Cas ‖ 3 *συνεῖδον*] E Cr *συνιδόντες* CasAa | *αὐτοῖς* Cas ‖ 4 *τὸ ζῷον* ante *ὡς χολὴν* collocat A ‖ 5 *τοῦτο* E | *φρονήσεως* Cas E | *χαλινὸν* E ‖ 6 *πᾶσιν ἐλ. αὐτὴν* E | *δεδώκασι* ACr cf. Acc. ‖ 8 *μεγάλως καταπραΰνει* A *καταπρ. μεγ.* Cr

ὁ μῦθος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

211. *ΟΦΙΣ ΚΑΙ ΚΑΡΚΙΝΟΣ*

(Halm 346 Ch. 291)

(*I*) *ὄφις καὶ καρκίνος ἐν ταὐτῷ διέτριβον. καὶ ὁ μὲν καρκίνος ἁπλῶς τῷ ὄφει καὶ εὐνοϊκῶς προσεφέρετο, ὁ δὲ ἀεὶ ὕπουλος καὶ πονηρὸς ἦν. τοῦ δὲ καρκίνου συνεχῶς αὐτὸν παραινοῦντος ἐξαπλοῦσθαι τὰ κατ᾽ αὐτὸν καὶ τὴν αὐτοῦ διάθεσιν μιμεῖσθαι ἐκεῖνος οὐκ ἐπείθετο. διόπερ ἀγανακτήσας παρατηρησάμενος αὐτὸν κοιμώμενον τοῦ φάρυγγος ἐπιλαβόμενος ⟨τῇ χηλῇ καὶ ὅσον οἷόν τε πιέσας⟩ ἀνεῖλε. ἰδὼν ⟨δὲ⟩ αὐτὸν ἐκτεταμένον εἶπεν· „ὦ οὗτος, ἀλλ᾽ οὐ νῦν σε ἐχρῆν ἁπλοῦν εἶναι, ὅτε τέθνηκας, ὅτε δέ σε παρῄνουν ⟨καὶ⟩ οὐκ ἐπείθου.“*

οὗτος ὁ λόγος εἰκότως ἂν λέγοιτο ἐπ᾽ ἐκείνων τῶν ἀνθρώπων, οἳ παρὰ τὸν ἑαυτῶν βίον εἰς τοὺς φίλους πονηρευόμενοι μετὰ θάνατον εὐεργεσίας κατατίθενται.

(*III*) *ὄφις καρκίνῳ συνδιῃτᾶτο ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. ὁ μὲν οὖν καρκῖνος ἁπλοῦς ὢν τὸν τρόπον μετα-*

---

211 (*I*) CFECrA scol. an. 9 D (*IIIγ*) (*IIIβ*) (*IIIα*)

---

211 (*I*) **2** *καὶ* ante *εὐνοϊκῶς* om. A | *ὁ δὲ ὄφις* ACr || **2** *ἁπλώως* Cr || **3** *αὐτὸν*] C F E Cr *αὐτῷ* Aa *τὰ πρὸς αὐτὸν* E A || **4** *κατὰ τὴν αὐτοῦ διάθεσιν ὑποκείμενον, ἐκεῖνος* A || **5** *ὁ καρκῖνος ἀγαν.* ACr || **7.8** post *ἐπιλαβόμενος* excidisse quid unus C sensit, qui *ἀνεῖλε καὶ ἰδὼν* praebet, quod a recepit. *ἐπιλαβ. ἰδὼν* F E Cr *καὶ ἰδιὸν* a *ἐπιλ. εἶδεν αὐτὸν ἐκτεταμένον καὶ ἔφη* A *ἴδεν καὶ ἔφη* Cr Schneiderum secutus ex Acc. *τῇ . . . πιέσας* inserui, *δὲ* addit St. || **9** *ἕως* pro *εἶναι* E | *ὅτε δέ σοι* E CrAa *ἀλλ᾽ ὅτε σοι* A || **10** *καὶ οὐκ ἐπείθου*] scr. *οὐκ ἐπείθου* C F *οὐκ ἀνήρησο* E a (*οὐκ ἂν ἀνήρησο* Ch. *οὐδὲ γὰρ ἂν ἀνήρησο* St.) *καὶ οὐκ ἐπήκουες* ACr || **13** *τὸν θάνατον* E || epimythium satis ineptum in suspicionem vocavit Schn. aliquanto melius quod in a legitur *ὅτι οἱ παρὰ τὸν ἑαυτ. β. εἰς τοὺς φίλους πονηρευόμενοι ἑαυτοῖς τῶν κακῶν γίνονται αἴτιοι* — cf. Acc.

(*III*) **1** *καὶ ἑταιρείαν* γ

βαλέσθαι κἀκεῖνον παρῄνει τῆς πανουργίας. ὁ δὲ οὐδοτιοῦν ἑαυτὸν παρεῖχε πειθόμενον. ἐπιτηρήσας δ' ὁ καρκῖνος αὐτὸν ὑπνοῦντα καὶ τοῦ φάρυγγος τῇ χηλῇ λαβόμενος καὶ ὅσον οἷόν τε πιέσας φονεύει. τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος ἐκεῖνος εἶπεν· „οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι· οὐδὲ γὰρ ἂν ταύτην τὴν δίκην ἔτισας."

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες αὐτοὶ μᾶλλον βλάπτονται.

212. *ΟΦΙΣ, ΓΑΛΗ ΚΑΙ ΜΥΕΣ*

(Halm 345 Ch. 290)

ὄφις καὶ γαλῆ ἔν τινι οἰκίᾳ ἐμάχοντο. οἱ δὲ ἐνταῦθα μύες ἀεὶ καταναλισκόμενοι ὑπ' ἀμφοτέρων ὡς † ἐθεάσαντο τὴν μάχην ἐξῄεσαν. οἱ δὲ τούτους θεασάμενοι ἀφέντες τὴν πρὸς ἑαυτοὺς μάχην ἐπ' ἐκείνους ἐτράπησαν.

οὕτω καὶ τῶν πόλεων οἱ ἐν ταῖς τῶν δημαγωγῶν στάσεσιν ἑαυτοὺς παρεισκυλίοντες λανθάνουσιν αὐτοὶ ἑκατέρων ἀνάλωμα γινόμενοι.

---

212 (*I*) FECr (*I*a)

---

3 *κἀκείνῳ* 1Mo (*β*) Kor. Ch. *κἀκεῖνον μεταβ. παρῄνει γ* ‖ **5** *καὶ τοῦ φάρ. τῇ χηλῇ λαβόμενος* om. *a* Acc. ‖ **7** *εὐθῆ γ β* ‖ **9** *τοὺς φίλους γ*

212 **2** *κατηναλίσκοντο* ACr | in sequentibus excidisse etiam hoc loco quaedam patet. *ὡς ἐθεάσαντο τὴν μάχην εἰς θέαν ἐξῄεσαν. οἱ δὲ τούτους θεασάμενοι ἀφέντες* F *ὡς ἐθεάσαντο δὲ τοὺς μύας τότε ἀφέντες* A *ὡς ἐθεάσαντο τοὺς μύας ἀφέντες* E Cr displicet in F repetitum *ἐθεάσαντο . . . θέαν . . . θεασάμενοι.* an *ὡς ᾔσθοντο αὐτοὺς μαχομένους θεασόμενοι ἐξῄεσαν*? attamen planiora haec quam editionis minoris lectio, quam e K recepit Nev., e Neveletana editores, *ὡς ἐθεάσαντο αὐτοὺς μαχομένους ἐξῆλθον βαδίζοντες. ἰδόντες δὲ* (*οἱ δὲ ἰδ.* Schn.) *τοὺς μύας τότε ἀφέντες τὴν πρὸς ἀλλήλους μ. κτλ.*, ubi *βαδίζοντες* quid sibi velit prorsus ignoro. totum versum excidisse probabile videtur. *ἐξῆλθον ⟨τῆς⟩ βα⟨ρείας τύχης ἤδη ἀπαλλαγήσεσθαι* (vel *ἀπηλλάχθαι*) *ἐλπί⟩ζοντες* tale quid desidero ‖ **4** *πρὸς αὐτοὺς* F ‖ **5** *ἐν στάσιν* F | *τῶν* ante *δημ.* om. ACr ‖ **6** *ἑαυτοὺς* F *ἑαυτοῖς* ACr | *περισκύλλαντες* ACr *παρεισβάλλοντες* a *παρεισκυκλοῦντες* Char. ‖ **7** *γενόμενον* A

213. *ΟΦΙΣ ΠΑΤΟΥΜΕΝΟΣ*

(Halm 347 Ch. 292)

(*I*) *ὄφις ὑπὸ πολλῶν πατούμενος ἀνθρώπων τῷ Διὶ ἐνετύγχανεν. ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· „ἀλλ' εἰ τὸν πρότερόν σε πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι."*

ὁ λόγος δηλοῖ, ὅτι οἱ τοῖς πρώτοις ἀμυνόμενοι τοῖς ἄλλοις φοβεροὶ γίνονται.

(*III*) *ὄφις ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος τῷ Διὶ ἐνετύγχανεν. ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· „ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι."*

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι τοῖς ἄλλοις φοβεροὶ γίνονται.

214. *ΠΑΡΑΚΑΤΑΘΗΚΗΝ ΕΙΛΗΦΩΣ ΚΑΙ ΟΡΚΟΣ*

(Halm 354 Ch. 299)

(*Ia*) *παρακαταθήκην τις λαβὼν φίλου ἀποστερεῖν διενοεῖτο. καὶ δὴ προσκαλουμένου αὐτὸν ἐκείνου ἐπὶ ὅρκον εὐλαβούμενος εἰς ἀγρὸν ἐπορεύετο. γενόμενος δὲ κατὰ τὰς πύλας ὡς ἐθεάσατό τινα χωλὸν ἐξιόντα, ἐπυνθάνετο αὐτοῦ, τίς τε εἴη καὶ ποῖ πορεύοιτο. τοῦ δὲ εἰπόντος αὐτὸν Ὅρκον εἶναι*

---

213 (*I*) Synt. 18 cf. infra **214** primus edidit e cod. F hanc fabulam Furia, quam in K praetermiserat Nev.

---

213 (*I*) CFCasA (*IIIβ*) (*IIIα*) accedunt J (*γ*) RA (*I*a)
214 (*I*) – FBBa = (*I*a)

---

213 (*I*) **1** *ἐνετύγχανεν περὶ τούτου* A || **3** *σε* om. ACr | *ἐπεχείρησέ σοι* Cas || **5** *τοῖς πρώτοις ἀνθρώποις* Cas *τοῖς πρώτοις ἐπιβαίνοντες* A *τοὺς πρώτους* Kor., St. dil. Aes. 409. 5 ⟨*ἐπιβαίνοντας*⟩ St. *ἀνθιστάμενοι* sec. Acc. Ch.

(*III*) **2** *τὸν πρῶτόν σε* RA *τὸ πρότερον* Vrat. Jen. J G (*β*) || **5** *προτέροις* J (*γ*), LVrat. (*β*). *πρώτοις* C Q P H Mon. (*β*) *πρώτως* G (*β*)

214 **1** *παρακαταθήκας* F B, Fu. || **2** *προκαλουμένου αὐτὸν ἐπὶ ὅ.* B || **5** *ἦν καὶ ποῦ πορεύεται* a

καὶ ἐπὶ τοὺς ἀσεβεῖς βαδίζειν, ἐκ δευτέρου ἠρώτα, διὰ πόσου χρόνου ἐπιφοιτᾶν ταῖς πόλεσιν εἴωθεν. ὁ δὲ ἔφη· „διὰ τεσσαράκοντα ἐτῶν, ἐνίοτε δὲ καὶ διὰ τριάκοντα.“ καὶ ὃς οὐδὲν μελλήσας τῇ ὑστεραίᾳ ὤμοσε μὴ εἰληφέναι τὴν παρακαταθήκην. περιπεσὼν δὲ τῷ Ὅρκῳ καὶ ἀπαγόμενος ὑπ' αὐτοῦ ἐπὶ κρημνὸν ᾐτιᾶτο αὐτόν, ὡς προειπὼν αὐτῷ διὰ τριάκοντα ἐτῶν ἐπιπορεύεσθαι, οὐδὲ πρὸς μίαν ἡμέραν ἄδειαν δέδωκεν. ὁ δὲ ὑπολαβὼν ἔφη· „ἀλλ' εὖ ἴσθι, ὡς, ὅταν με λίαν τις ἀνιάσῃ, καὶ αὐθήμερον ἐπιφοιτᾶν εἴωθα.“

ὁ λόγος δηλοῖ, ὅτι ἀδιόριστός ἐστι τοῖς κακοῖς κατὰ τῶν ἀσεβῶν ἡ ἐκ θεῶν τιμωρία.

215. *ΠΑΙΣ ΑΚΡΙΔΑΣ ΘΗΡΕΥΩΝ*

(Halm 350 Ch. 294)

παῖς πρὸ τοῦ τείχους ἀκρίδας ἐθήρευε. πολλὰς δὲ συλ- (*I*) *λαβὼν ὡς ἐθεάσατο σκορπίον, νομίσας ἀκρίδα εἶναι, κοιλάνας τὴν χεῖρα οἷός τε ἦν καταφέρειν αὐτοῦ. καὶ ὃς τὸ κέντρον ἐπάρας εἶπεν· „εἴθε γὰρ τοῦτο ποιήσαις, ἵνα καὶ ἃς συνείληφας ἀκρίδας ἀποβάλῃς.“*

---

215 Babr. 168 tetr. I 18 Dosith. 10 cf. infra Synt. 39 cf. infra Rom. LXXXVIII

---

215 (*I*) – C Cas O E Cr A B Ba

---

6 *αὐτὸν* F *αὐτὸν διὰ πόσους χρόνους* B || **7** *φοιτᾶν* F B | *ὁ δὲ* om. F || **8** *διὰ* ante *τεσσ.* omissum ante *τριάκ.* collocat F *διὰ τῶν τεσσ. ἐνίοτε δὲ* a || **9** *μελλήσας*] Kor. *μελήσας* libri | *ὑστέρα* B || **11** *ὅτι προειπὼν ὡς διὰ* a *ὅτι προεῖπεν αὐτῷ ὡς . . . ἐπιπορεύεται οὐδὲ μίαν οὕτως ἄδειαν ἡμέραν δίδωσιν* B || **14** *λίαν τις ἀνιάσῃ*] a *μέλλῃ τις ἀνιᾶσαι* F (*ἀνιᾶσαί με* Kor.) *μέλλει ἂν τις ἀνιᾶσθαι καί με* B || **15.16** *ἐστι κτλ.*] a *ἐστιν ἡ κ. τ. ἀσ. ἐκ θεοῦ τιμ.* F *ἐστιν ἡ κατὰ τῶν δυσσεβούντων ἀθέων τιμ.* B

215 **1** *τοῦ* om. ACr || **2** *οἰηθεὶς* pro *νομίσας* O E || **3** *αὐτοῦ τὴν χ.* ACr Ba *αὐτὸν* O Cas | *καὶ ὡς* Cas A E Cr || **4.5** *ποιήσαις*] E *ποιήσεις* B *ἐποίησας* C *ταύτας ἀποβάλῃς* Ba Cas *ἀπέλλῃ* C *ἀπολέσῃς* E plane corrupta praebent ACr Ba *καὶ ὡς τὸ κέντρον ἔπληξεν εἶπεν· ἐθέλω* (= *ἤθελον*) *τοῦτο ἐποίησας, ἵνα καὶ* (*καὶ* om. Cr Ba) *ἃς κατέχω ταῖς ἁφαῖς ἀκρίδας ἀποβάλλῃς* quae frustra emendare conatus est Schn. || **5** *συνείληφας ταύτας ἀποβ.* C Cas

οὗτος ὁ λόγος διδάσκει ἡμᾶς μὴ δεῖν πᾶσι τοῖς χρηστοῖς καὶ τοῖς πονηροῖς κατὰ τὰ αὐτὰ προσφέρεσθαι.

(*II*) versibus dodecasyllabis inclusam hanc fabulam exhibent V O P Cas, T (*III δ*) (= Ch. 294 b), unus Br pedestri sermone usus ita enarravit (= Ch. 294 c):

(*III δ*) *παῖς τις συνάγων ἀκρίδας εἷλε καὶ σκορπίον ἀντὶ ἀκρίδος* (*-δας* cod.). *ὁ δὲ πρὸς τὸν παῖδα ἄκακον ὄντα νοήσας ἔφη· „ἄπελθε, μὴ θήρευε, μὴ* (*καὶ* cod.) *πάσας ἀπολέσῃς.“*

ὁ μῦθος δηλοῖ, ὅτι καλόν ἐστι τὰ ἐναντία γινώσκειν καὶ τὸ μὲν (*μὴ* cod.) *καλὸν πράττειν, τὰ δὲ κακὸν ἐκφεύγειν.*

(*III γ*) *παῖς τις θηρεύων ἀκρίδας περιέτυχε σκορπίῳ. ὁ δὲ τὸ τοῦ παιδὸς ἁπλοῦν θεασάμενος τὸ κέντρον ὀξύνας εἶπεν· „ἄπελθε, παῖ, καὶ σῴζου, μὴ κἀμὲ θηρεύων πάντας, οὓς ἔχεις, ἀπολέσῃς.“*

[*ὁ μῦθος δηλοῖ, ὅτι προσέχειν δεῖ τοὺς δυναμένους πάντας βλάπτειν.*]

216. *ΠΑΙΣ ΚΛΕΠΤΗΣ ΚΑΙ ΜΗΤΗΡ*

(Halm 351 Ch. 297)

(*I*) *παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον ἀφελόμενος τῇ μητρὶ ἐκόμισε. τῆς δὲ οὐ μόνον αὐτὸν μὴ ἐπιπληξάσης, ἀλλὰ καὶ ἐπαινεσάσης αὐτὸν ἐκ δευτέρου ἱμάτιον κλέψας* □ *ἤνεγκεν αὐτῇ· ἔτι δὲ μᾶλλον ἀποδεξαμένης αὐτῆς προϊὼν τοῖς χρόνοις ὡς νεανίας ἐγένετο, ἤδη καὶ τὰ μείζονα κλέπτειν*

(*III γ*) — F f V o (= cod. Hudsonis, Huds. Hptm. 263 b, Kor. 263 b) Laud accedit W ex (*III δ*) -- = Ch. 294 d   **216** (*I*) C F E A (= Ch. 297 b) Cr

---

6 *ἡμᾶς* om. E Cr | *μηδὲν* O B | *πᾶσί τε χρηστοῖς* A || **7** *τοῖς* ante *πονηροῖς* om. C Cr *πᾶσι τοῖς ἀχαρίστοις πονηροῖς αὐτὰ προσφ.* B | *κατὰ ταῦτα* E B | *προφέρειν* Cas

(*III γ*) **1** *τὰς ἀκρίδας* W || **2** *τὸ μὲν κ.* f || **3** *πάσας, ἃς* Ch. || epimythium sensu cassum unus W habet, deest in *γ*. *ὅτι μὴ προσέχειν δεῖ τοῖς?* cf. *προσφέρεσθαι* in Aug.

216 (*I*) **1** *διδασκάλου* A | *ὑφελόμενος* E Cr *ἀνελόμενος* A || **2** *διεκόμισε* F | *αὐτῷ* E a | *μὴ* om. C F || **3** *μᾶλλον* pro *καὶ* E || **4** *ἀποδεξαμένης αὐτῆς*] a *ἀποδεξαμένης* C *ἐκείνης ἀποδεξαμένης* F *ἐπαινεσάσης αὐτὸν ἐκείνης* E *καὶ ἔτι μᾶλλον ἐκείνη ἀπεδέξατο. προϊόντος δὲ χρόνου* (fuit a m_1 *προϊὼν δὲ χρόνος*) *ὁ νεανίας καὶ ἐπὶ τὰ μείζονα ἐχώρει* A *ἔτι μᾶλλον ἐκείνη ἀπεδέξατο, προϊὼν δὲ τ. χρ. ὁ νεανίας* Cr

ἐπεχείρει. ληφθεὶς δέ ποτε ἐπ' αὐτοφώρῳ καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοκοπούσης εἶπε βούλεσθαί τι αὐτῇ πρὸς τὸ οὖς εἰπεῖν καὶ προσελθούσης αὐτῆς ταχέως τοῦ ὠτίου ἐπιλαβόμενος καταδήξας ἀφείλετο. τῆς δὲ κατηγορούσης αὐτοῦ δυσσέβειαν, εἴπερ μὴ ἀρκεσθεὶς οἷς ἤδη πεπλημμέληκε καὶ τὴν μητέρα ἐλωβήσατο, ἐκεῖνος ὑπολαβὼν ἔφη· „ἀλλ' ὅτε σοι πρῶτον τὴν δέλτον κλέψας ἤνεγκα, εἰ ἐπέπληξάς μοι, οὐκ ἂν μέχρι τούτου ἐχώρησα καὶ ἐπὶ θάνατον ἠγόμην."

ὁ λόγος δηλοῖ, ὅτι τὸ κατ' ἀρχὰς μὴ κολαζόμενον ἐπὶ μεῖζον αὔξεται.

(*II*) *παῖς ἐκ τοῦ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον ὑφελὼν τῇ ἑαυτοῦ μητρὶ ἐκόμισε. τῆς δὲ μὴ ἐπιπληξάσης*

(*II*) L Accursianam sequitur M Accursianam sequitur

(*II*) — VOPMoBrCas — (*III*d) — N — T vers. comp. = Ch. 297d

---

6 *ἐπ' αὐτοφώρῳ* om. A | *περιωμισθείς* A a || **7** *δῆμον* FA *τοὺς δημίους* E | *ἀπῆγον* C | *μητρὸς* om. E || **8** *στερνοτυπούσης* C F *στερνοποιουμένης* E Cr *στερνοτυπτομένης* a *στερνοπονουμένης ὁ νεανίας εἶπεν· θέλω τι εἰπεῖν τῇ μητρὶ* (*μου* Cr) *εἰς τὸ οὖς* ACr *στερνοκοπουμένης* Halm St. || **9** *καὶ προσελθούσης αὐτῆς ταχέως*] scr. C F secutus qui tamen *προσελθοῦσα ταχέως* praebent. *ἡ δὲ προσελθοῦσα* (*τῆς -ούσης* A) *ταχέως* (*ἐκεῖνος* addit Cr) *ἐπελάβετο τοῦ ὠτὸς* (*αὐτῆς* add. Cr) *καὶ* (*αὐτὸν* add. Cr) *ἐξέκοψε* ACr *καὶ ἐπεὶ τάχιστα αὐτῷ προσῆλθε* (*καὶ* add. E) *τοῦ ὠτίου ἐπιλ. κατέδακεν αὐτό* E a || **11** *αὐτοῦ* om. C F *αὐτὸν ὡς δυσσεβῆ ἐκεῖνος ἔφη* ACr *αὐτὸν ὡς δυσσεβῆ* Cr | *εἴπερ . . . πεπλημμέληκε*] rursus ad editionis minoris libros confugi. *καὶ εἰπούσης* (*λεγούσης* F) *μὴ ἀρκεῖσθαι οἷς πεπλ. ἤδη ἀλλὰ καὶ* C F *εἰπεῖν μὴ ἀρκεσθεὶς σοι ἤδη πεπλ.* E (*καὶ εἰπούσης* ⟨*ὡς*⟩ *μὴ ἀρκ.* ⟨*τοῖς πρότερον κακοῖς*⟩ *ἤδ. πεπλ.* St.) desunt haec in ACr || **13** *ἀλλ' ὅτε . . . ἤνεγκα*] C F *ἀλλὰ τότε ὅτε σοι* E Cr a *ἤγαγον* a *ἀλλὰ τότε ὅτε σοι πρῶτον μὲν δέλτον κτλ.* A | *εἰ ἐπίπληξάς* (*πέπληξας* F *ἔπληξας* Cr) *μοι* (*με* C Cr) C F Cr *ἐπέπληξάς μοι* E a *εἰ ἔπληξάς με* A || **14** *καὶ . . . ἠγόμην*] A *καὶ ἐπὶ* (*τὸν* C) *θάν. ἐπηγόμην* (*ἠπειγόμην* C) CF *ὡς* (*ὡς* om. Cr) *καὶ ἐ. θ. ἀπάγεσθαι* (*χωρῆσαι* a) E Cr a || **16** *κολαζομένους* C *κωλυόμενον* ACr a || **17** *μείζονα* C F a | *αὔξει* A

(*II*) **1** *ἐκ διδασκαλείου* O Cas *ἐκ τοῦ διδασκάλου* Br N | *φοιτητοῦ* VO | *βίβλον* O || **2** *ὑφελὼν*] VO Mo *ἀφελὼν* P *κλέψας* Br N | *ἐπιδέδωκε* Cas *ἔφερε τῇ μητρὶ αὐτοῦ* Br N | *μὴ* om. O

αὐτόν, ἀλλὰ μᾶλλον ἀποδεξαμένης ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ. ἔτι δὲ μᾶλλον αὐτῆς ἀποδεξαμένης προϊὼν τοῖς χρόνοις ὁ παῖς ὡς νεανίας ἤδη γέγονεν, ἤρξατο καὶ τὰ μείζονα κλέπτειν. ληφθεὶς οὖν ποτε ἐπ' αὐτοφώρῳ καὶ παρὰ τοῦ δικαστοῦ ἀναγκασθεὶς ἐπὶ τὸν φόνον κατεκρίθη. τῆς δὲ μητρὸς αὐτοῦ ἐπακολουθούσης καὶ ὀλοφυρομένης εἶπεν ὁ παῖς πρὸς τοὺς δημίους· „ἐάσατέ με λαλῆσαι τῇ μητρί μου πρὸς τὸ οὖς ἕνα λόγον." τῆς δὲ ταχέως ἐλθούσης καὶ τὸ οὖς αὐτῆς τῷ στόματι τοῦ υἱοῦ αὐτῆς ἐπιθείσης τοῖς ὀδοῦσιν αὐτοῦ τοῦ ὠτίου αὐτῆς γενναίως δραξάμενος ἀπέκοψεν αὐτό. τῆς δὲ βρησάσης καὶ εἰπούσης, ὡς ἤδη πεπλημμέληκεν, οὐ μὴν ἀλλὰ καὶ τοῦ λαοῦ κατηγοροῦντος αὐτοῦ ὡς μὴ ἀρκεσθέντος τοῖς προτέροις κακοῖς, ἀλλὰ καὶ εἰς τὴν ἰδίαν μητέρα ἠσεβηκότος, ἔφη ἐκεῖνος· „αὕτη ἐγένετο τῆς ἐμῆς ἀπωλείας αἴτιος. εἰ γάρ, ἡνίκα τὴν ἐκ τοῦ διδασκαλείου δέλτον ἔκλεψα καὶ ἤνεγκα αὐτῇ, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτου ἐχώρησα καὶ ἐπὶ θάνατον ἠγόμην."

ὁ μῦθος δηλοῖ, ὅτι τὸ κακὸν κατ' ἀρχὰς μὴ κολαζόμενον ἐπὶ μείζονα αὔξεται.

---

3 *αὐτῷ* O Mo | *ἀποδεξαμένης*] V Mo *ὑποδ.* O N Cas *καὶ ὑποδ.* P *αὐτὸν ὑποδεξαμένη* Br | *ἐκ δευτέρου ... ἀποδεξαμένης* om. Br N Cas *τοῦ δευτέρου* O || **4** *ἤν. ὅπερ ἔτι ὑπέρτερα ἀπεδέξατο* Mo || **5** *προϊὼν δὲ* Mo *προϊόντος τοῦ χρόνου* Cas *ποιῶν τοῦ χρόνου* N | *ὡς* om. Mo *ὡς — γέγονε* om. Br N | *ἤρξ. κατὰ μείζονα* P || **6** *ἐπ' αὐτοῦ ποτε* (pro *ἐπ' αὐτοφ.*) P *ἐπὶ τὸν φόρον* Br || **7** *καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο* Cas *ἠπείγετο* (= *ἀπήγετο*) V *ἐπὶ τοῦ φόνου* Mo || **8** *αὐτῷ* V || **10** *εἰς τὸ οὖς* Br *οὖς τι λέγειν αὐτῆς δὲ* Mo *λόγον ἕνα* P Cas N || **11** *δραμούσής* O || **12** *αὐτῆς* om. Mo | *ἐπιτεθείσης* Br N *ἐπιθεμένης* O *ἐπιθέντος* P *ἐπιτιθέντος* Mo *τοῦ ἑοῦ αὐτῆς ἐπιθέντος* P | *τοῖς ὀδοντίοις* P | *τοῦ ὠτίου* V Cas] (*τὸ ὠτίον* praeter codicem Fu, Ch.). *τὸ ὠτίον* cet. *δραξαμένου αὐτοῦ* Mo || **13** *βοώσης καὶ λεγούσης* O || **15** *ὡς μαρκεσθέντα* P *ὡς μὴ ἀρκεσθέντα τοῖς ἑτέρων κακοῖς* Mo || **16** *ἠσεβηκότος*] O *ἀσεβήσαντος* V *πλημμελήσαντος* Mo *ἠσέβησεν* cet. *ἠσέβηκεν* Kor. || **17** *τῆς ἐμ. ἀπωλ. ὁ ἔτιος αὕτη ἐγένετο* P | *αἰτία* Cas || **18** *τὴν ἐκ τοῦ διδασκαλείου*] scr. *τὴν ἐκ* (*ἐκ* om. V O Mo) *τοῦ διδασκάλου μου* (*μου* om. V O) V O P Mo *τὴν τοῦ συμφοιτητοῦ μου* Cas Br N | *ἤν. αὐτὴν* P N *ταύτη ἤνεγκον* Mo || **19** *ἐπέπληξεν ἂν μοι* Br N | *κεχώρηκα* Mo | *νῦν δὲ ἐπὶ* Br N || **20** *τὸν θάνατον* Cas | *ἤχθην* Mo *ὑπήγω* P *ἤγαγον* Br N || **21** *ὅτι ... αὔξεται*] O Cas *κακὸν* om. O *τὸν*

παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας ἤνεγκε τῇ μητρί. τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. ἐπ' αὐτοφώρῳ δέ ποτε ληφθεὶς ἀπήγετο τὴν πρὸς θάνατον. τῆς δὲ μητρὸς ἑπομένης καὶ ὀλοφυρομένης ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς οὖς. τῆς δὲ ταχέως τὸ οὖς τῷ στόματι τοῦ παιδὸς προσθείσης ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν· „αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος. εἰ γάρ, ὅτε τὴν δέλτον ἐκεκλόφειν, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας νῦν ἠγόμην τὴν ἐπὶ θάνατον." (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

217. *ΠΕΡΙΣΤΕΡΑ ΔΙΨΩΣΑ*

(Halm 357 Ch. 302)

περιστερὰ δίψει συνεχομένη ὡς ἐθεάσατο ἔν τινι πίνακι κρατῆρα ὕδατος γεγραμμένον, ὑπέλαβεν ἀληθῆ εἶναι. διόπερ πολλῷ ῥοίζῳ ἐνεχθεῖσα ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐντινάξασα. συνέβη οὖν αὐτῇ τῶν πτερῶν περιθραυσθέντων ἐπὶ (*I*) □

(*III γ*) 97 (*III β*) 110 (*III α*) 48 accedit M (*δ*) **217** (*I*) CF CasECrA (*I* a) Synt. 8 cf. infra

---

καταρχάσμον κολαζόμενον P *τῶν μὴ κατ' ἀρχ. κολ. ἐ. μείζ. αὔξεται τὰ κακὰ* Br N *τὸ κατ' ἀρχὴν κακὸν μὴ κολ. ἐ. μείζ. χωρεῖ* Mo *ὁ κατ' ἀρχ. μὴ κολαζόμενος ἐ. μ. αὔξεται* V

(*III*) **2** *μᾶλλον δὲ ἀποδ.* G O (*γ*) ‖ **6.7** *πρὸς τὸ οὖς* J f (*γ*) G P Gorl. Vi (*β*) alterum *τὸ οὖς* om. D E J K Luc. l Vrat. J G (*α*) *τῷ στόματι τὸ οὖς* (*τῷ στ. τοῦ π. τὸ οὖς* Laud) *γ* ‖ **10** *ἠσέβησεν* M (*δ*) *γ* ‖ **13** *ἠγ. ἐπὶ τὸν θάνατον* D E J K Luc. K (*α*) *τὴν ἐπὶ τὸν θάνατον* Plan.

217 (*I*) **1** *περιστερά ποτε* Cas | *τινι ποταμῷ* A (*τόπῳ* (Reiskia) ‖ **2** *ἀληθινὸν* E a ‖ **3** *αὐτὴ τῷ πίνακι ἐμπεσεῖν καὶ ἐκτιναξάσαι συνέβη* A *αὐτῇ* ACr (*ἐμπεσοῦσα . . . αὐτῇ* Schn.) ‖ **4** *συνέβη δὲ* E a | *περικλασθέντων* A *περὶ θλασθέντων* Cr | *ἐπὶ τῆς γῆς* C E *ὥστε ὑπὸ τὴν γῆν* Cr

τὴν γῆν καταπεσοῦσαν ὑπό τινος τῶν παρατυχόντων συλληφθῆναι.

οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρὰς ἐπιθυμίας ἀπερισκέπτως τοῖς πράγμασιν ἐπιχειροῦντες ἑαυτοὺς εἰς ὄλεθρον ἐμβάλλουσιν.

(*III*) *περιστερὰ δίψῃ συνεχομένη ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι. διὸ καὶ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα, ὡς καὶ τῶν πτερῶν αὐτῆς περικλασθέντων καταπεσεῖν ἐπὶ γῆν καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.*

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρὰς προθυμίας ἀπερισκέπτως πράγμασιν ἐγχειροῦντες ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

218. *ΠΕΡΙΣΤΕΡΑ ΚΑΙ ΚΟΡΩΝΗ*

(Halm 358 Ch. 303)

(*I*) *περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. κορώνη δὲ ἀκούσασα αὐτῆς τῶν λόγων* □ *ἔφη· „ἀλλ', ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ ἀλαζονεύουσα. ὅσῳ γὰρ ἂν πλείονα τέκνα ἔχῃς, τοσούτῳ περισσοτέρᾳ δουλείᾳ στενάξεις.“*

(*IIIβ*) (*IIIα*) accedit J (*γ*)   218 (*I*) CFCasOECrAUBBa — accedunt BrN ex Vi (*I*a)

---

5 *καταπεσοῦσα* CA | *παρατετυχηκότων* C F Cas | *καταληφθῆναι* A || 7 *ῥαθυμίας* ACr | *ἀπερισκέπτοις* ACr *ἀπροσκέπτως* E || 8 *ἑαυτοὺς εἰς ὄλ. ἐμβάλλουσιν* (*περιβάλλουσι* F Cas) C F Cas *ἑ. εἰς ὄλ. βάλλουσι* ACr *λανθάνουσιν ἑαυτ. εἰς ὄλ. εἰσιόντες* E (*εἰσιέντες* St.)

(*III*) 1 an *τοίχῳ*? || 4 *ἐμπεσοῦσαν* J || 6 *ὑπὸ σφοδρᾶς ἐπιθυμίας* J || 7 *ἐπιθυμίας* K (a) | *ἀπερισκέπτοις πράγμασιν β* Plan. *ἀπερισκέπτως τοῖς πρ.* Ch. || 8 *ἑαυτοὺς εἰς ὄλεθρον ἐμβάλλουσιν β* Plan.

218 (*I*) 1 *περιστεροτροφείω* C E U a | *ἐν πολ.* C F Cas Cr Br *ἐπὶ πολυτελείᾳ* O || 2 *τῶν λόγων* om. OAU Br a || 3 *ἀλλ'* om. C F Cas Br | *αὐτὴ* A | *τούτοις* C F Cr || 4 *ὅσον . . . τοσοῦτον* AU Br *ἂν* om. O U Br a *τέκνα* om. OA *σχῇς* O E *ἔχεις* a *ποιῇς* ACr | *περισσότερον . . . στενάζεις* Cas U *περιστερὰ δουλείας στεν.* E (*περισσοτέρας* St.) *τοσοῦτον δουλεία στενάξεις* B Ba *περιττοτέρας λύπας συνάγεις* A *-ρας λύπης στενάξεις* Cr *περισσοτέρους δούλους συνάξῃς* Br N

οὕτω καὶ τῶν οἰκετῶν δυστυχέστεροί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ τεκνοποιοῦσιν.

περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. κορώνη δ' αὐτῆς ἀκούσασα ἔφη· „ἀλλ', ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ σεμνυνομένη· ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας συνάγεις." (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν, ὅσοι ἐν τῇ δουλείᾳ πολλὰ τέκνα ποιοῦσιν.

219. *ΠΙΘΗΚΟΣ ΚΑΙ ΑΛΙΕΙΣ*

(Halm 362 Ch. 305)

πίθηκος ἐπί τινος ὑψηλοῦ δένδρου καθήμενος ὡς ἐθεάσατο ἁλιεῖς ἐπί τινος ποταμοῦ σαγήνην βάλλοντας, παρετηρεῖτο τὰ ὑπ' αὐτῶν πραττόμενα. ὡς δὲ ἐκεῖνοι τὴν σαγήνην ἀνασπάσαντες μικρὸν ἄποθεν ἠρίστουν, καταβὰς ἐπειρᾶτο καὶ αὐτὸς τὰ αὐτὰ πράττειν· φασὶ γὰρ μιμητικὸν εἶναι τὸ ζῷον. ἐφαψάμενος δὲ τῶν δικτύων ὡς συνελήφθη, ἔφη πρὸς ἑαυτόν· „ἀλλ' ἔγωγε δίκαια πέπονθα. τί γὰρ ἁλιεύειν μὴ μαθὼν τοῦτο ἐπεχείρουν;" (*I*)

ὁ λόγος δηλοῖ, ὅτι ἡ τῶν μὴ προσηκόντων ἐπιχείρησις οὐ μόνον ἀσύμφορος, ἀλλὰ καὶ ἐπιβλαβής ἐστιν.

---

219 (*I*) Babr. 157 Synt. 46 cf. infra

(*IIIβ*) (*IIIα*) **accedit J (*γ*)** **219 (*I*) — CFECrA —**

---

6 *δυστυχέστατοι* E B *δυστυχεῖς* B a *δυσχερεῖς* A || **7** *τέκνα ποιοῦσι* C F *τ. π. πολλὰ* ACr

(*III*) **6** *τέκνα πολλὰ β* Plan.

219 (*I*) **1** *καθήσας* E *καθίσας* St. *καθεζόμενος* Cr || **2** *ἔν τινι ποταμῷ* A *ἐπί τινος ἠιόνος σαγήνην ἕλκοντας* E | *παρετήρει* A || **4** *ἔρρικτον* E *ἠρίστων* St. | *ὁ δὲ* (om. A) *πίθηκος κατ.* ACr || **5.6** *φασὶ δὲ* E | *μιμ. ζῷον εἶναι· τὸ τοιοῦτο ἐφαψάμενος τῶν ἰχθύων* A || **8** *ἁλιεὺς* ACr | *τούτω* F *τούτῳ* Schn. || epimythium deest in A

(*II*) *πίθηκος ἔν τινι ὑψηλῷ δένδρῳ καθήμενος ὡς ἐθεάσατο ἁλιεῖς ἐπί τινος ποταμοῦ σαγήνην ἐμβάλλοντας, παρετήρει τὰ ὑπ' αὐτῶν γινόμενα. καὶ δὴ τὴν σαγήνην ἐάσαντες μικρὸν ὑπεχώρησαν τοῦ φαγεῖν, καταβὰς δὲ αὐτὸς ἀπὸ τοῦ δένδρου ἐπειρᾶτο μιμεῖσθαι αὐτούς — φασὶ γὰρ μιμητικὸν εἶναι τὸ ζῷον τοῦτο. ἐφαψάμενος δὲ τῶν δικτύων καὶ συλληφθεὶς ἐκινδύνευε πνιγῆναι. ὁ δὲ πρὸς ἑαυτὸν ἔφη· „ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ ἁλιεύειν μὴ μαθὼν τοῦτο ἐπεχείρουν;"*

ὁ μῦθος δηλοῖ, ὅτι ὁ τοῖς μηδὲν προσήκουσιν ἐπιχειρῶν οὐ μόνον ἀσύμφορον ἀλλὰ καὶ ἐπιβλαβὲς ποιεῖ.

220. *ΠΛΟΥΣΙΟΣ ΚΑΙ ΒΥΡΣΟΔΕΨΗΣ*

(Halm 368 Ch. 310)

πλούσιος βυρσέως παραπλησιάζοντος μὴ δυνάμενος τὴν δυσωδίαν φέρειν ἐπέκειτο αὐτῷ, ἵνα μεταβῇ. ὁ δὲ ἀεὶ ἀν-

---

220 Babr. 146

(*II*) — VOMoBrCas — (*III δ*) N (= cod. Galt. Hudsonis, Huds. Hptm. 310 Kor. 309) TJ **220** (*I*) — FECrAB (Salm.) — accedunt ex (*III δ*) ViBrN = Ch. 310b. versibus inclusa repetitur in F = Ch. 310d

---

(*II*) **1** *πίθηξ* Cas, *ὁ Π.* *μόνος* Mo | *ὑψηλῷ* om. Mo | *καὶ θεασάμενος* T || **2** *ἐπί τινα ποταμὸν* Br N Cas J | *ἐμβάλλοντας*] Mo Kor. *ἐμβάλλοντες* Br N (*ἐκβάλλοντας* Huds.) *βαστάζοντας*?? Cas secundum Furiam, evanidum. *βάλλοντας* VOTJ || **3** *τούτων τὴν σαγήνην ἐασάντων καὶ ὑποχωρησάντων . . . καταβὰς ἀπὸ* Cas || **4** *καὶ κατ. ἐπὶ τοῦ* O || **6** *καὶ* pro *εἶναι* Mo | *συλληφθέντα αὐτὸν* Br N || **7.8** *ἐπορεύετο πνιγῆναι* VOT | *καὶ ἔφη πρ. ἑ.* Br N *συλληφθεὶς δίκαια πεπονθέναι ἔφη· τί γὰρ* Mo || **8** *δικαίως* O | *τί γὰρ ὁ μὴ μεμάθηκα τοῦ ἁλιεύειν, τοῦτ' ἐπεχείρουν νῦν ποιῆσαι· λοιπὸν ἄξι' ἀπολέλαυκα τῆς τεχνίας* T | *τούτῳ* CasT || **10** epim. ex V recepi *ὁ τῶν μηδὲν προσηκόντων αὐτῷ ἐπιχειρῶν οὐ μ. ἀσύμφ.* (*ἀφρονέστατα* Mo) *ἀ. κ. ἐπιβλαβές* Mo J *ὁ τῶν μὴ πρ. ἐπιχειρῶν τοῦτ' ἔστι τῶν μὴ πρεπόντων οὐ μ. ἀσυβλαβές ἐστι* T *ὅτι τῶν μηδὲν* (*μὴ* N) *προσηκόντων αὐτῷ* (om. N) *ὁ* (om. Br) *ἐπιχειρῶν* (*τὸ μὴ προσῆκον αὐτῷ* Huds.) *οὐ μόν. ἀσύμφορον ἀ. κ. ἐπιβλαβὲς αὐτῷ γίνεται* (*ἀλλὰ ἐπιβλαβές* Br) Br N *ὅτι τὸ τῶν μὴ . . . ἐπιχειρεῖν οὐ μ. ἀσ. ἀ. κ. ἐπιβλαβές ἐστι.* O *ὅτι ἡ τῶν μηδὲν προσ. ἐπιχείρησις οὐ μ. ἀσύμφορος ἀ. κ. ἐπιβλαβής ἐστιν.* Cas

220 **1** *πλούσιος βυρσέως* (vel *βυρσοδέψου*) *κτλ.*] scribendum puto *πλούσιον βυρσῖ παραπλησιάζοντα καὶ μὴ δυνάμενος* B. Salm. (*πλού-*

εβάλλετο λέγων μετ' ὀλίγον χρόνον μεταβήσεσθαι. τούτου δὲ συνεχῶς γενομένου συνέβη χρόνου διελθόντος τὸν πλούσιον ἐν συνηθείᾳ γενόμενον τῆς δυσωδίας μηκέτι αὐτῷ διενοχλεῖν.

ὁ λόγος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ δυσχερῆ τῶν πραγμάτων καταπραΰνει.

221. *ΠΛΟΥΣΙΟΙ ΚΑΙ ΘΡΗΝΩΙΔΟΙ*

(Halm 369 Ch. 311)

πλούσιος δύο θυγατέρας ἔχων τῆς ἑτέρας ἀποθανούσης (*I*) *τὰς θρηνούσας ἐμισθώσατο. τῆς δὲ ἑτέρας παιδὸς λεγούσης πρὸς τὴν μητέρα· „ἄθλιαι ἡμεῖς, εἴ γε αὐταὶ μέν, ὧν ἐστι τὸ πάθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μηδὲν προσήκουσαι οὕτως σφόδρα κόπτονται καὶ κλαίουσιν,“ ἡ μήτηρ ἔφη· „μὴ θαύμαζε, τέκνον, εἰ οὕτως αὗται θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.“*

οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσι καὶ ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

---

221 (*I*) — CFCasOECrAU — accedit BrN (*III δ*) — (*I*a)

σιος βυρσεῖ παραπλησιάζων τις Nev.) *πλ. βυρσὶ παραμένοντι μὴ δ.* F *πλ. βυρσοδεῦσι περικείμενος* (*βυρσοδέψῃ παρακ.* Schn.) *μὴ δυν. δὲ* A *πλ. βύρσῃ παρακείμενος* Cr *πλ. βυρσοδέψει παρῳκίσθη μὴ δυν. δὲ* E *πλ. βυρσεῖ γειτονεύων καὶ μὴ δ.* Br N || **2** *διετέλει ἑκάστοτε αὐτῷ ἐπικείμενος* E | *ὁ δὲ ἀεὶ κτλ.*] F B secutus dedi nisi quod ex E *ἀεὶ* inserui *ἀνεβάλετο* Cr Br N *ὁ δὲ ἀνεβάλετο χρόνον λέγων* A *ὁ δὲ ὡς ἀεὶ αὐτὸν διανεβάλλετο λ.* E || **3** *μεταβήσεσθαι* om. Br N || **4** *γινομένου* Char. | *χρόνου διελθόντος* om. A Br N | *τὸν πλούσιον* om. F B Br N || **5** *συνήθην* (*ἐν συνήθῃ* Br) N Br | *τῇ δυσωδίᾳ* N *ἐν συνηθείᾳ τῆς ὀσμῆς τοῦτον γινόμενον* A *ἔνθα* F *τις ὡς μὴ γενόμενον* (*ἠθάδα τῆς ὀσμῆς* St.) E | *αὐτὸν* F, om. B || **6** *ἐνοχλεῖν* Cr F B — *καὶ οὐκέτι αὐτὸν ἐνόχλει* Br N || **7.8** *ἡ συν. τῶν ἠθῶν* E *καταπραΰνειν εἴωθεν* F

221 (*I*) **1** *πλούσιός τις* Br cf. N infra | *τῆς μιᾶς* F A || **2** *τὰς* om. C F A Cr Br | *εἰπούσης* Cas *λαλούσης* A Cr || **3** *ὡς ἄθλιαι* A | *ἡμεῖς ὅτι* Cas *ἡμεῖς μὲν* Cas *μὲν* om. C || **4** *αὗται τὸ πάθος θρηνεῖν* C E | *μακρὰν προσήκ.* A Cr || **5** *σφοδρῶς* A Cr | *τύπτονται καὶ* O | *καὶ ἡ μ.* C F Cr *ἐκείνη ὑποτυχοῦσα ἔφη* O E U a || **6** *ἀλλὰ μὴ* Cas O E U | *τοῦτο τέκνον* O | *οὕτως οἰκτρῶς* O E || **7** *τοῦτο ᾄδουσιν* C || **9** *καὶ* om. A Cr Br | *ἐνίων συμφορὰς* C F | *ἐργολαβεῖν*] O Cr *ἔργῳ, ἔργα, ἔργον λαβεῖν* cet.

(*III δ*) **haec ita in brevius redacta in N (= Ch. 311 b)**

πλούσιός τις δύο θυγ. ἔχ. συνέβη τελευτῆσαι τὴν μίαν. καὶ δὴ θρηνητρίας μισθωσάμενος ᾠδικώτερον ἔκλαιον. τῆς δὲ ἑτ. αὐτ. θυγατρὸς πρὸς τὴν αὐτῆς μητ. εἰπούσης· „ἄθλιαι αὐταί, εἴγε ὧν ἐ. τὸ π., θρ. οὐκ ἴσμ., αἱ δὲ ⟨μηδὲν⟩ προσ. αὗται οὕτ. σφ. κόπτονται", πρὸς [δὲ] ⟨αὐτὴν⟩ ἡ μ.ἔ„μὴ θαύμ., τέκν., ἐπὶ προσδοκίᾳ γὰρ ἀργυρίου τ. ποιοῦσιν."
ὁ μ. δ., ⟨ὅτι⟩ διὰ φιλ. οὐκ ὀκν. ἀλλ. συμφ. ἐργολαβεῖν.

(*III*) *πλούσιος δύο θυγατέρας ἔχων τῆς μιᾶς ἀποθανούσης θρηνούσας ἐμισθώσατο. τῆς δὲ ἑτέρας παιδὸς λεγούσης· „ὡς ἄθλιαι ἡμεῖς, αἵ γε αὐταί, ὧν ἐστι τὸ πένθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μὴ προσήκουσαι οὕτω σφοδρῶς κόπτονται," ἡ μήτηρ ἔφη· „μὴ θαύμαζε, τέκνον, εἰ αὗται οὕτω θρηνοῦσιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν."*
ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

222. *ΠΟΙΜΗΝ ΚΑΙ ΚΥΩΝ*

(Halm 372 Ch. 313)

ποιμὴν ἔχων κύνα παμμεγέθη τούτῳ εἰώθει τὰ ἔμβρυα καὶ τὰ ἀποθνήσκοντα τῶν προβάτων παραβάλλειν. καὶ δήποτε εἰσελθούσης τῆς ποίμνης ὁ ποιμὴν θεασάμενος τὸν κύνα προσιόντα τοῖς προβάτοις καὶ περισαίνοντα αὐτὰ εἶπεν· „ἀλλ', ὦ οὗτος, ὃ θέλεις σὺ τούτοις, ἐπὶ τῇ σῇ κεφαλῇ γένοιτο."
ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα κόλακα.

(*III β*) (*III α*) accedit J (*γ*) **222** (*I*) — FOECrAU — accedunt BrN ex Vi — (*I α*)

(*III δ*) **3** *αὖται* cod. || **4** *μηδὲν* inserui, *μὴ* Ch. | *δὲ* seclusi, *πρὸς δὲ ⟨αὐτὴν⟩* Ch. || **6** *ὅτι* ins. Ch. | *φιλαργυρίου* cod. | *⟨ἔνιοι⟩ οὐκ ὀκνοῦσι*?

(*III*) **3** an *εἴ γε*? conf. Aug. || **7** *οὕτως ἔνιοι β*

222 **1** *τοῦτον* AU a || **3** *εἰσελθὼν τῇ ποίμνῃ ὁ ποιμὴν καὶ* ACr || **4** *περισαίνοντα αὐτὰ*] F *σαίνοντα αὐτὰ* OABr *σαίνοντα αὐτὸν* U *σαίνοντα* ECr *σαίνοντα αὐτῷ τὴν οὐρὰν* N || **5** *σὺ* om. F *εἴθε ὃ ἐθέλεις* N *εἴθε θέλε σὺ τ.* Br | *ἐπὶ τούτοις* O || melius epimythium *πρὸς ἄνδρα λόγοις μὲν φίλον φαινόμενον, πονηρὰ δὲ κατὰ νοῦν βουλευόμενον* a

223. *ΠΟΙΜΗΝ ΚΑΙ ΘΑΛΑΣΣΑ*

(Halm 370 Ch. 312)

ποιμὴν ἔν τινι παραθαλασσίῳ τόπῳ νέμων ὡς ἐθεάσατο τὴν θάλασσαν γαληνήν τε καὶ πραεῖαν, ἐπεθύμησε πλεῖν. διόπερ πωλήσας αὐτοῦ τὰ πρόβατα, φοίνικας ἀγοράσας καὶ ναῦν ἐμφορτισάμενος ἀνήχθη· χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νηὸς περιτραπείσης πάντα ἀπολέσας μόλις ἐπὶ τὴν γῆν διενήξατο. πάλιν δὲ γαλήνης γενομένης ὡς ἐθεάσατό τινα ἐπὶ τῆς γῆς ἐπαινοῦντα τῆς θαλάσσης τὴν ἠρεμίαν, ἔφη· „ἀλλ', ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιθυμεῖ." (*I*)

οὕτω πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνεται μαθήματα.

ποιμὴν ἐν θαλασσίῳ τόπῳ ποίμνια νέμων ἑωρακὼς τὴν θάλασσαν γαληνιῶσαν ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. πωλήσας οὖν τὰ πρόβατα αὐτοῦ καὶ φοίνικας ἀγοράσας ναῦν ἐμφορτισάμενος ἀνήχθη· χειμῶνος δὲ σφοδροῦ γεγονότος καὶ τῆς νηὸς περιτραπείσης ἅπαντα ἀπολέσας αὐτὸς μόλις ἐσώθη. μετ' οὐ πολλὰς οὖν ἡμέρας τῆς θαλάσσης (*II*)

---

223 (*I*) — CFECrAU (mutilus.) — (*I* a) (*II*) — VOPMoBr, Cas. qui ad Aug. exemplar fabulam refinxit L Accursianam sequitur (*III δ*) — MNT —

---

223 (*I*) **1** *τόπῳ* om. EA || **2** *γαληνιῶσάν τε* E | *πλεῖν καὶ πορεύεσθαι* F *ἐπ. κολυμβᾶν* U || **3** *αὐτοῦ* om. E U a | *φοίνικας ἐπρίατο* E || **4** *ἀνήχθη εἰς τὸ πέλαγος* U || **6** *τὴν γῆν*] Schn. *ἐπὶ τῆς γῆς* CFA *ἐπὶ γῆς* E Cr a | *δὲ διεν.* A || **7** *ἐπὶ τῆς ἠιόνος* E *ἐ. τοῦ αἰγιαλοῦ* a | *τὴν τῆς θαλ. ἠρ.* A || **8** *νηνεμίαν* F | *ἀλλ'* om. F E | *γάρ σου* C F || **10** *τοῖς ἀνθρώποις* C

(*II*) **1** *θαλασσαίῳ* Br | *ποίμνια δουλεύων καὶ ἑ.* Mo || **2** *πρὸς ἤπειρον* N || **3** *καὶ ἀγορ. σῦκα* N || **4** *ναῦν ἐμφορτωσάμενος* Cas M *νηὶ φορτωσάμενος* P *ν. ἐμφ.* om. Br N | *ἀνήχθη ἐπὶ τὴν θάλασσαν* (*τῆς -λάσσης* Br) Br N || **5** *ἅπαντα ἀπόλεσε·* cetera desunt Mo praeter epimythium || **6** *μόλις*] Cas M, Ch. *μόνος* cet. *ἅπαντα* (*ἄρδην* add. N) *ἀπώλεσεν αὐτὸς μόνος σωθεὶς* TN

γαληνιώσης ἐθεάσατό τινα παριόντα καὶ τῆς θαλάσσης τὴν ἠρεμίαν ἐπαινοῦντα. ὑπολαβὼν δὲ ἔφη αὐτῷ· „ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιθυμεῖ."

ὁ μῦθος δηλοῖ, ὅτι μαθήματα τοῖς φρονίμοις τὰ παθήματα γίνονται.

(*III*) *ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. ἀπεμπολήσας οὖν τὰ πρόβατα καὶ φοινίκων βαλάνους πριάμενος ἀνήχθη. χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν μόλις κενῇ τῇ νηὶ διεσώθη. μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς καὶ τῆς θαλάττης — ἔτυχε γὰρ αὖθις γαληνιῶσα — τὴν ἠρεμίαν θαυμάζοντος ὑπολαβὼν οὗτος εἶπεν· „ὦ λῷστε, φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα."*

ὁ μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.

224. *ΠΟΙΜΗΝ ΚΑΙ ΠΡΟΒΑΤΑ*

(Halm 378 Ch. 317)

(*I*) *ποιμὴν ἐλάσας τὰ πρόβατα εἴς τινα δρυμῶνα ὡς ἐθεάσατο δρῦν παμμεγέθη μεστὴν βαλάνων, ὑποστρώσας τὸ*

(*III γ*) (*III β*) (*III α*) 224 (*I*) O E F Cas A Cr — accedunt Br N ex Vi = Ch. 317 b — (*I* a)

---

7 *γαληνιώσης*] O P Cas M *ἡσυχαζούσης* Br N *ἡσυχαζ. καὶ γαληνιώσης* V *γαλην. . . . ἐπαινοῦντα* om. T || 8 *τὴν ἡσυχίαν* Br N | *δὲ* om. V || 9 *σοι*] Cas M N *σου* cet. | *τῶν φοινίκων* T *φοινίκια* P *συκᾶ ἐπιθ. καὶ διὰ τοῦτο γαληνιᾷ* N || 10 *ὅτι μαθ. κτλ.*] V *ὅτι μαθ. τοῖς πολλοῖς ἢ* (*καὶ* T) *τοῖς φρονίμοις κτλ.* O P T *τὰ παθ. τοῖς φρον. μαθ. γ.* Br N *ὅτι πολλάκις τὰ παθ. τ. φρ. γίνεται μαθήματα* Cas M *ὁ μὴ ἐπαρκῶν εἰς ὃ ἐπέχει ἀλλὰ μείζονος δεῖται καὶ αὐτὸν ἀφίσταται* Mo

(*III*) 3 *ἀπεμπωλήσας* Go (*a*) Eins. (*γ*), edit. || 6 *εἰς θάλ.* L M (*γ*) | *σὺν κενῇ τ. ν.* L M (*γ*) || 8 *αὖθις*] J *β αὕτη γ*, *a*, om. Vo Laud (*γ*) Go Gorl. (*a*) || 9 *ὦ λῷστε* om. F f M (*γ*) *a* praeter Go Gorl. Harl.[1] E

224 (*I*) 1 *εἰσελάσας* O E || 2 *τὸ* om. A *τὰ ἱμάτια* Cr

ἱμάτιον ἐπὶ ταύτην ἀνέβη καὶ τὸν καρπὸν ἀντέσειε. τὰ δὲ πρόβατα ἐσθίοντα τὰς βαλάνους ἔλαθε καὶ τὰ ἱμάτια συγκαταφαγόντα. ὁ δὲ ποιμὴν καταβὰς ὡς ἐθεάσατο τὸ γεγονός, εἶπεν· „ὦ κάκιστα ζῷα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτα παρέχετε, ἐμοῦ δὲ τοῦ τρέφοντος καὶ τὸ ἱμάτιον ἀφείλασθε.“ □

οὕτω καὶ τῶν ἀνθρώπων πολλοὶ δι' ἄγνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται..

(*III*) *ποιμὴν ἐλάσας εἴς τινα δρυμῶνα τὰ πρόβατα ὑποστρώσας ὑπὸ δρῦν τὸ ἱμάτιον καὶ ἀναβὰς τὸν καρπὸν κατέσειε. τὰ δὲ πρόβατα ἐσθίοντα τοὺς βαλάνους ἔλαθον καὶ τὰ ἱμάτια συγκαταφαγόντα. ὁ δὲ ποιμὴν καταβὰς ὡς εἶδε τὸ γεγονός, „ὦ κάκιστα“, ἔφη, „ζῷα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε, ἐμοῦ δὲ τρέφοντος ὑμᾶς καὶ τὸ ἱμάτιον ἀφείλεσθε.“*

ὁ μῦθος δηλοῖ, ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων δι' ἄγνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

225. *ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΙΔΕΙΣ*

(Halm 373 Ch. 314)

ποιμὴν εὑρὼν λυκιδεῖς τούτους μετὰ πολλῆς ἐπιμελείας ἔτρεφεν οἰόμενος, ὅτι τελειωθέντες οὐ μόνον τὰ ἑαυτοῦ

(*IIIβ*) (*IIIα*) accedit J (*γ*)   **225** (*I*) — FCrEA — accedunt e ViBrN = Ch. 314b — (*I*a)

---

3. 4 *ἱμ. αὐτοῦ* (*αὐτοῦ* St.) O E | *ἐπὶ ταύτην*] O E a *ἐ. ταύτῃ* F Cas *ἐπ' αὐτὴν* ABr *ὑπὸ ταύτην* Cr | *τὸν* om. A | *κατέσειε* ex Acc. Halm *συγκαταφαγεῖν* ACr *τ. δ. πρ. ἀντισείοντα τὰς βαλ. ἤσθιον· ἔλαθε δὲ καὶ κτλ.* O | *ἔλαθε διαρρῆξαι καὶ τὰ ἱμάτια* (*τὸ ἱμάτιον* F) F Cas *ἔλαθον . . . συγκαταφαγεῖν* A || **5** *καταβὰς* om. F || **6** *ἔρια καὶ ἐ.* Br || **7** *παρεχόμενα ἐμοῦ τοῦ* O E | *τρέφοντος ὑμᾶς* ACr a | *κατεφάγετε καὶ ἀφείλασθε ἀπ' ἐμοῦ* E || **8** *πολλοὶ*] A *πολλάκις* O E Cr F Br deest in Cas | *τινές* a

(*III*) **3** *τὰς βαλάνους* Heus., Kor. | *τὸ ἱμάτιον* Kor. || **6** *ἐσθῆτα* Q (*β*) | an *τοῦ τρέφοντος* ut in Aug.?

225 **1** *λυκίδια ταῦτα* ACr Br N || **2** *ὅτι εἰ ταῦτα τρέφει οὐ* A | *τελειωθέντα* Br *μεγαλυνθέντα* N | *οὐ μόνον* om. Br N

πρόβατα τηρήσουσιν, ἀλλὰ καὶ τὰ ἑτέρων ἁρπάζοντες αὐτῷ οἴσουσιν. οἱ δὲ ὡς τάχιστα ηὐξήθησαν, ἀδείας τυχόντες πρῶτον αὐτοῦ τὴν ποίμνην διέφθειραν. καὶ ὃς ἀναστενάξας εἶπεν· „ἀλλ' ἔγωγε δίκαια πέπονθα. τί γὰρ τούτους νηπίους ὄντας ἔσῳζον, οὓς ἔδει καὶ ηὐξημένους ἀναιρεῖν;"

οὕτως οἱ τοὺς πονηροὺς περισῴζοντες λανθάνουσι καθ' ἑαυτῶν πρῶτον αὐτοὺς ῥωννύντες.

226. *ΠΟΙΜΗΝ ΠΑΙΖΩΝ*

(Halm 353b Ch. 319)

(*I*) *ποιμὴν ἐξελαύνων αὐτοῦ τὴν ποίμνην ἀπό τινος κώμης πορρωτέρω διετέλει τοιαύτῃ παιδιᾷ χρώμενος. ἐπιβοώμενος γὰρ τοὺς κωμήτας ἐπὶ βοήθειαν ἔλεγεν, ὡς λύκοι τοῖς προβάσιν ἐπῆλθον. δὶς δὲ καὶ τρὶς τῶν ἐκ τῆς κώμης ἐκπλαγέντων καὶ ἐκπηδησάντων, εἶτα μετὰ γέλωτος ἀπαλλαγέντων, συνέβη τὸ τελευταῖον λύκον ἐπελθεῖν τῇ ἀληθείᾳ. ἀποτεμνομένης δὲ αὐτοῦ τῆς ποίμνης καὶ αὐτοῦ ἐπὶ βοή-*

---

226 Babr. 169

---

226 (*I*) 217 — CFCasCrEA —

---

3 *τηροῦσιν* F *φυλάξουσιν* ACr | *τὰ ἑτέρων*] A *τὰ ἕτερα* F *ἕτερα* E Cr a | *καὶ ἔτι προσθήσουσι ἁρπάζοντες ἕτερα καὶ εἰσάξουσιν ἐν τῇ αὐτοῦ μάνδρα* N *ἔτι ἁρπ. προσάγωσι τῇ μ.* Br || **4** *ηὐξήθησαν*] E Br (*ηὐξήνθ.* N) N a *ἐτράφησαν* ACr *ᾔδεισαν* F || **5** *πρῶτα* F *πρώτην* a | *διαφθείρειν ἤρξαντο καὶ ὡς ταῦτα ᾔσθετο ἀναστ.* E || **6** *δίκ. πέπ., τί γὰρ μὴ νηπείους ἀπέκτεινον* (*-κταινον* N *-κτενον* Br) cet. omissis Br N || **7** *ἔτρεφον* pro *ἔσῳζον* A || **8** *κατὰ τὸν πρῶτον* Br N || **9** *ῥωννύοντας* F

226 (*I*) **2** *πορρωτέρας* A *περαιτέρω* C | *παιδεία χρόνω μὲν ὡς* E *πολιτεία* C F || **3** *γὰρ* om. F E || **4** *ἐπῆλθον*] F A *ἐπήλθοσαν* C Cas *ἐπέθυε* (= *ἐπέθεον* Char.) E | *δὲ* om. Cas A | *ἐκ τῆς ῥώμης ἐκλεγέντων* A || **5** *κατεκπηδησάντων* E | *διὰ γέλωτος* A || **6** *ταῖς ἀληθείαις λύκους ἐπ.* E Cr A || **7** *ἀποτεμνομένης* (*-όμενος* Cas) *δὲ αὐτοῦ* (*αὐτὸν* Cas) *τῆς ποίμνης* (*τ. ἀγέλης τῶν προβάτων* F) C F Cas Cr *ἀποτεμνόμενος δὲ αὐτὸς* A *ἀποτεμνομένου δὲ αὐτοῦ τὴν ποίμνην* E *ἀποτεμνομένων δὲ αὐτῶν τὴν π.* Ch. | *καὶ αὐτοῦ ἐπὶ βοήθειαν* (*βοηθεία* C) *βοῶντος* (*ἐπιβ.* F) CF *καὶ αὐτοῦ ἐπιβοῶντος ἐπὶ βοηθεία* Cas *καὶ αὐτὸς ἐπὶ βοήθειας* (*βοήθειαν* Cr) *βοῶν* ACr *καὶ τοῦ ποιμένος ἐπὶ βοηθεία τοὺς κωμήτας ἐκκαλουμένου* E

θειαν βοῶντος ἐκεῖνοι ὑπολαβόντες αὐτὸν παίζειν κατὰ τὸ ἔθος ἧττον ἐφρόντιζον. καὶ οὕτως συνέβη αὐτὸν ἀπολέσαι τὰ πρόβατα.

ὁ λόγος δηλοῖ, ὅτι τοῦτο κερδαίνουσιν οἱ ψευδόμενοι τὸ μηδέ, ὅταν ἀληθεύωσι, πιστεύεσθαι.

versibus dodecasyllabis inclusam hanc fabulam exhibent VPLMo, TJFE. partim integros partim solutos versus praebent BrNMJ (= Ch. 319c). pedestri oratione compositam unus S hanc fabulam servavit (= Ch. 319d)

(*III δ*) *καί που παιδίον ποίμνια νέμον ἐφ' ὑψηλοῦ τόπου ἱστάμενον πολλάκις ἀνέκραγε· „βοηθεῖτέ μοι· λύκοι". οἱ δὲ ἀγρότεροι τρέχοντες ἐν τῇ ποίμνῃ τοῦτον ηὕρισκον μηδαμῶς ἀληθεύοντα. τοῦτο δὲ πολλάκις τοῦ παιδὸς πραξαμένου οἱ τοιοῦτοι συνήρχοντο καὶ ἀεὶ ψεῦδος εὑρίσκοντες ἀπήρχοντο. μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος ὁ παῖς ἐβόα· „ὁ λύκος, δεῦτε". ἐπεὶ δὲ οὐδεὶς ἐπίστευεν οὐδ' ἀπήρχετο βοηθῆσαι, ὁ λύκος ἀδείας λαβόμενος εὐκόλως τὴν ποίμνην πᾶσαν διέφθειρεν.*

ὁ μῦθος δηλοῖ, ὅτι τοσοῦτον ὀφείλει τις ⟨μὴ⟩ λαλεῖν τὰ ἀληθῆ, ὅσον δεῖ φοβεῖσθαι, μήπως ἐκ τούτου οὐδὲ τὰ ἀληθῆ λέγων εἰσακουσθῇ.

(*III γ*) *καὶ παιδίον που πρόβατα νέμον λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν ἐπικαλούμενον τοὺς ἀγρότας ἔλεγε· „βοηθεῖτε ὧδε, ἔρχεται λύκος." οἱ δὲ ἀγρόται τρέχοντες τοῦτον εὕρισκον μὴ ἀληθεύειν. τοῦτο δὲ ποιήσαντος πολλάκις εὕρισκον ψευδόμενον. μετὰ δὲ τούτου τοῦ λύκου προσελθόντος καὶ τοῦ παιδὸς βοῶντος· „δεῦτε, λύκος" οὐκέτι τις πεπίστευκε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. ὁ δὲ λύκος εὑρηκὼς ἄδειαν τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.*

(*III γ*) — FVo Laud B[2] — accedit W ex Vi — (= Ch. 319b)

---

9 *ἦθος* C F Cas *οὐδὲν* pro *ἧττον* ACr | *ἐφρόντισαν* ACr | *αὐτῷ* E *αὐτοῦ . . . ἀπολέσθαι* ACr || **10** *τῶν προβάτων στερηθῆναι* E || **11** *ψευδολόγοι* E || **12** *μηδὲν* F | *ἀληθεύουσι* Cas *ἀληθεύωνται* (*ἀληθεύωσι* Cr) *πιστ. ὑπό τινος* ACr

(*IIIδ*) **2** *μου* cod. || **4** *οὗτοι τοσάκις*? Ch. || **6** *ἀνήρχετο* Haas || **9** *ὠφελεῖ τινα τὸ μὴ λαλεῖν* Ch., eleganter quidem sed violentius. praestat *ὠφελεῖταί τις μὴ λαλῶν* || **10** an *ἐκ τοὐναντίου*? sed in tali scriptore nil mutandum

(*IIIγ*) **1** *καὶ* om. Laud W | *παπαιδίον* = *καὶ π.* B[2] | *ὡς* ante *λύκον* inseruit Huds. *ὥσπερ* Ch. || **2** *ἑόρα· ἐπικαλούμενον δὲ* W | *ἀγρότας*] W *ἀγρότες* F B[2] *ἀγρῶτας* Laud || **3** *τοῦτο* W || **4** *ποιήσαντες* W || **6** *ἐπεπιστεύκει* Vo *ἀπεπίστευκε* B[2] *ἐπίστευε* Kor.

ὅτι τοσοῦτον ὄφελος τῷ ψεύστῃ, ὅτι καὶ ἀληθῆ λέγων πολλάκις οὐ πιστεύεται.

227. *ΟΔΟΙΠΟΡΟΙ ΚΑΙ ΚΟΡΑΞ*

(Halm 312 Ch. 256)

πορευομένοις τισὶν ἐπὶ πρᾶξίν τινα κόραξ ὑπήντησε τὸν ἕτερον τῶν ὀφθαλμῶν πεπηρωμένος. ἐπιστραφέντων δὲ αὐτῶν καί τινος ὑποστρέψαι παραινοῦντος — τοῦτο γὰρ σημαίνειν τὸν οἰωνόν — ἕτερος ὑποτυχὼν εἶπεν· „καὶ πῶς οὗτος ἡμῖν δύναται τὰ μέλλοντα μαντεύεσθαι, ὃς οὐδὲ τὴν ἰδίαν πήρωσιν προεῖδεν, ἵνα φυλάξηται;"

οὕτω καὶ τῶν ἀνθρώπων οἱ ἐν τοῖς ἰδίοις ἄβουλοι καὶ εἰς τὰς τῶν πέλας συμβουλίας ἀδόκιμοί εἰσιν.

228. *ΠΡΟΜΗΘΕΥΣ ΚΑΙ ΑΝΘΡΩΠΟΙ*

(Halm 383 Ch. 323)

Προμηθεὺς κατὰ πρόσταξιν Διὸς ἀνθρώπους ἔπλασε καὶ θηρία. ὁ δὲ Ζεὺς θεασάμενος πολλῷ πλείονα τὰ ἄλογα ζῷα ἐκέλευσεν αὐτὸν τῶν θηρίων τινὰ διαφθείραντα ἀνθρώπους μετατυπῶσαι. τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος συνέβη τοὺς ἐκ τούτων πλασθέντας τὴν μὲν μορφὴν ἀνθρώπων ἔχειν, τὰς δὲ ψυχὰς θηριώδεις.

πρὸς ἄνδρα σκαιὸν καὶ θηριώδη ὁ λόγος εὔκαιρος.

---

228 cf. Hor. carm. I 16, 13

---

227 (*I*) E = (*I* a)   228 (*I*) — E — = (*I* a)

---

8 *κἂν ἀληθῆ* (*ἀλήθειαν* W) *λέγει* Laud W || 9 *οὐδὲ ἐκείνη* W

227 1 *ἐπὶ πρόσταξιν,* quod ex insequentis fabulae initio *Προμηθεὺς κατὰ πρόσταξιν Διὸς* ortum duxit, E || 4 *ἑτέρους* E || 5 *ὃς ἄλλω οὐδὲ* E (*ὃς ἀλλ' οὐδὲ* St.) || 6 *προείδετο* a || epimythium aliud in a *οὕτω καὶ οἱ ἐν τοῖς οἰκείοις πράγμασι τὸ ἄβουλον κεκτημένοι καὶ εἰς τὰς τῶν πέλας συμβουλίας ἀδόκιμοι* unde fortasse in E quoque *ἰδίοις πράγμασι* scribendum

228 1 *τοῦ Διὸς* a || 3 *διαφθείροντα* E || 5 *τοὺς ἐκ τούτων πλασθέντας*] Nev. *ἐκ τοὺς πλασθέντας* vel *ἐκ τῶν πλασθέντων* a *ἐκ τούτου τοὺς μὴ ἐξ ἀρχῆς ἀνθρώπους πλασθέντας* E || 7 *πρὸς ἄνδρας θηριώδεις καὶ ὀργίλους* a

229. *ΠΗΡΑΙ ΔΥΟ*

(Ch. 304)

Προμηθεὺς πλάσας ἀνθρώπους δύο πήρας ἐξ αὐτῶν ἀπεκρέμασε, τὴν μὲν ἀλλοτρίων κακῶν, τὴν δὲ ἰδίων. καὶ τὴν μὲν τῶν ὀθνείων ἔμπροσθεν ἔταξε, τὴν δὲ ἑτέρων ὄπισθεν ἀπήρτησεν. ἐξ οὗ δὴ συνέβη τοὺς ἀνθρώπους τὰ μὲν ἀλλότρια κακὰ ἐξ ἀπόπτου κατοπτάζεσθαι, τὰ δὲ ἴδια μὴ προσορᾶσθαι.

τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα πολυπράγμονα, ὃς ἐν τοῖς ἑαυτοῦ πράγμασι τυφλώττων τῶν μηδὲν προσηκόντων κήδεται.

230. *ΠΑΙΣ ΛΟΥΟΜΕΝΟΣ*

(Halm 352 Ch. 298)

παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἐκινδύνευσεν ἀποπνιγῆναι· ἰδὼν δέ τινα ὁδοιπόρον τοῦτον ἐπὶ βοήθειαν ἐφώνει. ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. τὸ δὲ μειράκιον εἶπε πρὸς αὐτόν· „ἀλλὰ νῦν μοι βοήθει, ὕστερον δὲ σωθέντι μέμφου.“

---

229 Plut. v. Crassi 32. Tzetz. chil. IX 943 Them. 2 cf. infra (= Halm 359) excerpta e Babr. 66. Cat. 22, 21 Hor. serm. II 3, 299
230 cf. Babr. 165 (= par. 115). Synt. 23 cf. infra

---

229 (*I*) — O E e, F paraphr. 50 sequitur.

230 (*I*) — C F Cas A Cr — accedunt Br et N (= cod. Gall. Hudsonis Hptm. p. 247?) (*III δ*) = Ch. 298 b

---

229 1 *πλάσας πέντε* O E *πλ. ποτὲ* e Ch. del. St. || 2 *ἀλλοτρίαν . . . ἰδίαν* O || 4 *ἀπεκρέμασε* O e || 5 *ἀπόπτου*] St. lect. p. 30 *ἀπροόπτου* libri | *κατόπτεσθαι* Ch. *προσορᾶσθαι*] scr. *προορᾶσθαι* libri

230 2 *πνιγῆναι καὶ ἰδὼν τινα παροδίτην ἐπεφώνει* Br N | *τινα* om. A | *ἐπὶ βοήθειαν ἐφώνει*] C A Cr *ἐπὶ βοηθεία ἐκάλει* Cas || 3 *ἐπεφώνει· βοήθησόν τι* Br N | *τὸν παῖδα ὡς τολμηρὸν* A Cr *τῶ παιδὶ τολμηρίαν* Br N || 4 *νῦν βοήθει ὕστ. δὲ σωθ. μὴ* (= *μοι*) *μέμφου* A *με βοήθησον* Br N || 5 *σωθέντα* Br N | *μέμφου*] Br N A *μοι μέμφου* Cr *μέμψει* (*η* Cas) C F Cas *μέμψῃ* Ch. *μέμψαι* Halm || epimythium satis ineptum aliunde irrepsisse putat St. dil. 424, sed fortasse in fine cor-

ὁ λόγος εἴρηται πρὸς τοὺς ἀφορμὴν καθ' ἑαυτῶν διδόντας † ἀδικεῖσθαι.

231. *ΑΛΩΠΕΚΕΣ ΠΑΡΑ ΜΑΙΑΝΔΡΩ*

(Halm 30 Ch. 29)

ποτὲ ἀλώπεκες ἐπὶ τὸν Μαίανδρον ποταμὸν συνηθροίσθησαν πιεῖν ἐξ αὐτοῦ θέλουσαι. διὰ δὲ τὸ ῥοιζηδὸν φέρεσθαι τὸ ὕδωρ ἀλλήλας προτρεπόμεναι οὐκ ἐτόλμων εἰσελθεῖν. μιᾶς δὲ αὐτῶν διεξιούσης ἐπὶ τῷ εὐτελίζειν ταῖς λοιπαῖς καὶ δειλίαν καταγελώσης ἑαυτὴν ὡς γενναιοτέραν προκρίνασα θαρσαλέως εἰς τὸ ὕδωρ ἐπήδησεν. τοῦ δὲ ῥεύματος ταύτην εἰς μέσον κατασύραντος καὶ τῶν λοιπῶν παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἑστηκυιῶν πρὸς αὐτὴν εἶπον· „μὴ ἐάσῃς ἡμᾶς, ἀλλὰ στραφεῖσα ὑπόδειξον τὴν εἴσοδον, δι' ἧς ἀκινδύνως δυνησόμεθα πιεῖν", ἐκείνη ἀπαγομένη ἔλεγεν· „ἀπόκρισιν ἔχω εἰς Μίλητον καὶ ταύτην ἐκεῖσε ἀποκομίσαι βούλομαι· ἐν δὲ τῷ ἐπανιέναι με ὑποδείξω ὑμῖν."

πρὸς τοὺς κατὰ ἀλαζονείαν ἑαυτοῖς κίνδυνον ἐπιφέροντας.

232. *ΠΡΟΒΑΤΟΝ ΚΕΙΡΟΜΕΝΟΝ*

(Halm 382 Ch. 322)

πρόβατον ἀφυῶς κειρόμενον ἔφη· „εἰ μὲν ἔρια ἐπιζητεῖς, ἀνωτέρω τέμνε, εἰ δὲ κρεῶν ἐπιθυμεῖς, ἅπαξ με καταθύσας τοῦ κατὰ μικρὸν βασανίζειν ἀπάλλαξον."

---

232 Babr. 51

---

231 (*I*) = (*I* a) 232 (*I*) 219 — CFCasACr — accedunt e ViBrN

---

rigendum est *τοῦ ἐλέγχεσθαι*. aliud epimythium in N *ὁ μ. δ. ὅτι μὴ μέμφου, πλὴν ἐλέει· καὶ γὰρ παράπληκτον ποιεῖς τὸν λυπούμενον.* unde *μὴ μέμφου πλὴν ἐλέησον* ... Huds. Halm. an *παράπληκτον ἔχεις τὸν λ.*?

231 4 *τὰς λοιπὰς* Nev. || 8 *εἰπουσῶν* Halm

232 1 *ἔφη πρὸς τοὺς κείροντας* (*πρὸς τὸν κείροντα* Ch.) A qui idem *τέμνετε .. ἐπιθυμεῖτε — καταθύσατε — ἀπαλλάξαντες* praebet sed etiam *ζητεῖς* immutare oblitus est | *ἔρια*] CasACr *ἔριον* cet. || 2 *ἄνω* Br N | *κρέως* A

πρὸς τοὺς ἀφυῶς ταῖς τέχναις προσφερομένους ὁ λόγος ἁρμόδιος.

233. *ΡΟΙΑ, ΜΗΛΕΑ ΚΑΙ ΒΑΤΟΣ*

(Halm 385 Ch. 325)

ῥοιὰ καὶ μηλέα περὶ εὐκαρπίας ἤριζον. πολλοῦ δὲ τοῦ νείκους ἀναφθέντος βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν· „ἀλλ', ὦ φίλαι, πανσώμεθά ποτε μαχόμεναι." (*I*)

οὕτω παρὰ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται δοκεῖν τινες εἶναι. □

ῥοιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. πολλῆς δὲ φιλονεικίας παρὰ τῶν ἀμφοτέρων γεγονυίας βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν· „ὦ φίλαι, πανσώμεθά ποτε μαχόμεναι." (*II*)

ὁ μῦθος δηλοῖ, ὅτι οὕτως παρὰ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

ῥοιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. πολλῶν δ' ἀμφισβητήσεων μεταξὺ γενομένων βάτος ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ „πανσώμεθα", εἶπεν, „ὦ φίλαι, ποτὲ μαχόμεναι." (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσιν καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

---

233 (*I*) — CFOEA — (*I* a) (*II*) — VPLBrCas — (*III δ*) — MT — (*III γ*) (*III β*) (*III α*)

---

4 *εὐφυῶς* A | *ταῖς* om. C F | *τέχναις προσφερομένους* (*-όμενος* F) CFCr *τέχναις περιφερομέναις* A *τὴν τέχνην περιφερομένους* Cas *ταῖς τέχναις* (*τὰς τέχνας* N) *κεχρημένους* Br N

233 (*I*) 1 *καὶ μηλέα καὶ ἐλαία* C O E a quae e fab. 239 huc irrepserunt | *περὶ κάλλους* F cf. Vi | *πολλοῦ δὲ καὶ νείκους* F *πολλοῦ δὲ νίκους* C || 3 *φίλε* E Cr | *μαχόμενοι* E || epimythium deest in F || 4 *περὶ* CA || 5 *δοκεῖν* om. A *δοκεῖν τι* O E | *τι. εἶναι* om. Cr

(*II*) 1 *πολλὰς* Br M || 2 *τῶν* om. T recte ut putat Char. || 3 *φίλοι* P Br T | *πανσόμεθα* VLMT | *ποτὲ μὴ καυχώμεθα* Br || 5 *ἀμείνων* P L Cas M || 6 *πειρ. τι εἶναι καὶ οἱ μηδ. ἄξιοι* Br

(*III*) 2 *γεγονότων* Q (*β*) || 3 *φραγμοῦ ἀκ. γ* || epimythium nullum in *γ*

234. *ΣΠΑΛΑΞ*

(Halm 71 b Ch. 327)

(*I*) *σπάλαξ — ἔστι δὲ τοῦτο τὸ ζῷον τυφλόν — λέγει τῇ μητρὶ αὐτοῦ ὅτι „βλέπω". κἀκείνη πειράζουσα αὐτὸν χόνδρον λιβανωτοῦ δοῦσα αὐτῷ ἐπηρώτα, τί ποτε εἴη. τοῦ δὲ εἰπόντος ψηφῖδα ἔφη· „ὦ τέκνον, οὐ μόνον τοῦ βλέπειν ἐστέρησαι, ἀλλὰ καὶ τὰς ὀσφρήσεις ἀπώλεσας."*

οὕτως ἔνιοι τῶν ἀλαζόνων τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

(*II*) *σπάλαξ — ἔστι δὲ τοῦτο τὸ ζῷον τυφλόν — λέγει τῇ μητρὶ αὐτοῦ· „καμινέαν ὁρῶ." ἐκ δευτέρου ἔφη· „χονδρολιβάνου ὀσμῆς πεπλήρωμαι." ἐκ τρίτου ἔφη· „ψηφῖδος χαλκῆς κτύπον ἀκούω." ἡ δὲ μήτηρ αὐτοῦ ἔφη αὐτῷ· „ὦ τέκνον, ὡς ὁρῶ, οὐ μόνον τὸ βλέπειν ἐστέρησαι ἀλλὰ καὶ τὰς ἀκοὰς καὶ τὰς ὀσφρήσεις."*

---

234 (*I*) Babr. 170 (*II*) versibus compositam hanc fabulam putat Ch.

---

234 (*I*) — CCasECrABU — (*I* a) (*II*) — VPMoBr — (*III δ*) — —NT

---

234 (*I*) 1 *σφάλαξ* AU | *ζῶόν ἐστι πηρὸν* a *πονηρὸν* U || **2** *πρὸς τὴν ἑαυτοῦ μητέρα ὅτι* E | *βλέπει* E Cr || **3** *λιβανωτὸν* A | *αὐτῷ* om. E | *τοῦτο* pro *ποτε* ACr || **4** *ἔφη*] E U *εἶπεν* cet. *καὶ ἡ μήτηρ εἶπεν* Cr || **5** *ἀποβέβλησαι* E *τὰς φρένας* B || **6** *ἀλαζόνων μέχρις οὗ* EA quae ure saepsit Ch. | *καὶ τὰ ἀδ.* Cas

(*II*) **1** *σφάλαξ* P Br N *ἀσπ. ζῶόν ἐστι τ. λέγει δὲ* Mo *σπ. ἐστὶ ζ. τ. λέγει οὖν* (*εἶπε δέ ποτε* T) NT | *δὲ* om. P || **2** *συκαμινέαν* NT | *δὲ ἔφη* Mo quaestionum ordinem invertit P *μητρὶ αὐτοῦ· ὀσμῆς πεπλ. ἐκ δευτέρου λέγει καμ. ὁρῶ.* Mo | *χόνδρῳ λιβάνου* V *χονδρολίβανον* Br *χονδρολιβάνων* N deest in PT || **3** *πληροῦμαι* Mo | *τρίτου πάλιν λέγει* T | *ψηφῖδος* (*-δους* Br) *χαλκῆς*] Br NT *ψηφίδος χαλκοῦ* Mo *ψηφίδα χαλκοῦ* V *ψηφίδη χαλκοῦν* P *ψόφον ἀκ.* PT || **4** *θαυμάσασα ἔφη* T | *αὐτῷ* om. Mo || **5** *τοῦ βλέπειν* VP | *τὰς ὀσφρ. καὶ τὰς ἀκ.* Mo || **6** *τοῦ ἀκούειν καὶ τοῦ ὀσφραίνεσθαι* V

ὁ μῦθος δηλοῖ, ὅτι οὕτως ἔνιοι τῶν ἀλαζόνων ἀνθρώπων τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

ὁ ἀσπάλαξ τυφλὸν ζῷόν ἐστι. φησὶν οὖν ποτε τῇ μητρί· „συκαμινέαν, μῆτερ, ὁρῶ.“ εἶτα αὖθίς φησι· „λιβάνου ὀσμῆς πεπλήρωμαι.“ κἀκ τρίτου πάλιν· „χαλκῆς,“ φησι, „ψηφῖδος κτύπον ἀκούω.“ ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν· „ὦ τέκνον, ὡς ἤδη καταμανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς καὶ ὀσφρήσεως.“ (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

235. *ΣΦΗΚΕΣ, ΠΕΡΔΙΚΕΣ ΚΑΙ ΓΕΩΡΓΟΣ*

(Halm 392 Ch. 330)

σφῆκές ποτε καὶ πέρδικες δίψει συνεχόμεναι ἧκον πρὸς γεωργὸν καὶ παρὰ τούτου ποτὸν ᾔτουν, ἐπαγγελλόμεναι ἀντὶ τοῦ ὕδατος οἱ μὲν πέρδικες περισκάψειν τὰς ἀμπέλους καὶ τοὺς βότρυας εὐπρεπεῖς ποιήσειν, αἱ δὲ σφῆκες κύκλῳ περιστᾶσαι τοῖς κέντροις τοὺς κλέπτας ἀπώσεσθαι. κἀκεῖνος ὑπολαβὼν εἶπεν· „ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἵτι- (*I*)

---

235 (*I*) Archil. fr. 48 D

(*III γ*) (*III β*) (*III α*)
235 (*I*) COECrAU — (*I* a)

---

7 *οὕτως ὑπάρχει* (*ἔνι* pro *ὑπάρχει* Br) *ἡ τῶν ἀλαζόνων φύσις. τὰ ἀδύν. κατεπαγγέλλονται* (*-τες* N) *καὶ κτλ.* Br N || 8 *κατεπαγγέλλοντες* etiam Mo

(*III*) 1 *Σπάλαξ* K || 2 *καμινέαν β* Plan. (*ἄνθρακας συνηγμένους* Pl. in comment.) *κἀγὼ νέαν γ μερῶν* pro *μῆτερ* J (*γ*), Q L l (*β*) || 5 *μανθάνω β, α.* | *ὅτι οὐ* f Laud *γ*

235 (*I*) 1 *συνεχόμενοι* a in sequentibus masculinum genus tribuunt vespis O E Cas Cr U a, femininum C A || 3 *τοὺς ἀμπελῶνας* C || 4 *ποιήσειν*] C *ποιῆσαι* Cas A Cr U a *ποιεῖσθαι* O E | *σφῆκες* om. C O E U *σφίκαι* Cr || 5 *κύκλωπα* E *κύκλω τοῦ ἀμπελῶνος* U *κύκλῳ* om. A | *περιστάντες* E U *περιιοῦσαι* Cas | *ἀπώσεσθαι*] C A Cr *ἀπώσασθαι* rel. *ἀπολέσασθαι* a

νες μηδέν μοι κατεπαγγελλόμενοι πάντα ποιοῦσιν· οἷς ἄμεινόν ἐστιν ἢ ὑμῖν τὸ ποτὸν παρασχεῖν.“

πρὸς ἄνδρα ἀχάριστον ὁ λόγος εὔκαιρος.

(*II*) *σφῆκές ποτε καὶ πέρδικες δίψει συνεχόμενοι ἥκασι πρὸς γεωργὸν καὶ παρ᾽ αὐτοῦ πιεῖν ἐζήτουν ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος χάριν αὐτῷ ποιῆσαι. καὶ οἱ μὲν πέρδικες περισκάψαι τοὺς ἀμπελῶνας ἔλεγον καὶ τοὺς βότρυας εὐπρεπεῖς ποιῆσαι, αἱ δὲ σφῆκες κύκλῳ περιιοῦσαι τοῖς κέντροις τοὺς κλέπτας ἀποσοβῆσαι. ὁ δὲ γεωργὸς ἔφη· „ἀλλ᾽ ἔμοιγέ εἰσι βόες δύο, οἵτινες μηδὲν ἐπαγγελλόμενοι πάντα ποιοῦσιν· οἷς ἄμεινόν ἐστι δοῦναι ὕδωρ ἢ ὑμῖν.“*

οὗτος ὁ λόγος πρὸς ἄνδρα ἄχρηστον.

(*III*) *σφῆκες καὶ πέρδικες δίψῃ συνεχόμενοι πρὸς γεωργὸν ἦλθον παρ᾽ αὐτοῦ αἰτοῦντες πιεῖν ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν· οἱ μὲν πέρδικες σκάπτειν τὰς ἀμπέλους, οἱ δὲ σφῆκες κύκλῳ περιιόντες τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. ὁ δὲ γεωργὸς ἔφη· „ἀλλ᾽*

(*II*) — VPMoLBr — (*III δ*) — MNT
(*III γ*) (*III β*) (*III α*)

---

7 *μοι* om. CA | *κατεπαγγέλλονται πᾶν ποιοῦντες* O | *ταῦτα* pro *πάντα* Φ A | *ἄμεινον μὴ ὑμῖν* O || 8 *ἐστιν ἡμῖν* E | *τὸ* om. Cas || 9 *ἰταμὸν καὶ ἀχάριστον* a U *ἀχάριστον* ineptum, an *ἄχρηστον* coll. Vi?

(*II*) 1 *ποτε* om. Br N | *συνεχόμεναι* P Br NT | *ἧκον* Cas *ἦλθον* Br N || 2 *ποτὸν ἤτουν* Cas | *ἐπαγγελλόμεναι* T Br N || 3 *αἱ μὲν* T Br N || 4 *τὸν ἀμπελῶνα* P L M *τὰς ἀμπέλους* Mo || 5 *οἱ . . . περιιόντες* PTM || 6 *καὶ τοὺς κλέπτας τοῖς κέντροις* Mo | *ἀπώσεσθαι* Cas || 7 *εἰσι* om. P L M T | *ταῦτα ποι.* L M *τοῦτο* P || 8 *εἰώμενον ἐκείνοις* P *εἰς ἄμεινον ἐκείνοις* L *ἄμεινόν ἐστιν ἐκείνοις* | om. *οἷς* Br N | *ὕδωρ δοῦναι* Mo | *ὑμῖν ποτὸν παρέχειν* Cas || 9 *ἄχρηστον*] M T *ἀχάριστον* cet. *ἀχρ. τὸν μὲ* (= *μὴ*) *ἐπιστάμενον ἔργου τινὸς καὶ ἐπαγγελλομένου* (*λόμενον*) *εἰδέναι* T *ὁ μ. δ. ἄμεινόν ἐστι τοῖς οἰκείοις αγαθοποιεῖν ἢ τοὺς πέλας καὶ ἀχαρίστους* Mo

(*III*) 4 *σκάπτειν*] γ praeter FVo alios, Heus. Kor. *σκάψειν* α Acc. β Plan.

ἔμοιγέ εἰσι δύο βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι πάντα ποιοῦσιν· ἄμεινον οὖν ἐστιν ἐκείνοις δοῦναι ἤπερ ὑμῖν."

ὁ μῦθος πρὸς ἄνδρας ἐξώλεις ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

236. *ΣΦΗΞ ΚΑΙ ΟΦΙΣ*

(Halm 393 Ch. 331)

σφὴξ ἐπὶ κεφαλὴν ὄφεως καθίσας καὶ συνεχῶς τῷ κέντρῳ πλήσσων ἐχείμαζε. ὁ δὲ περιώδυνος γενόμενος καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνεσθαι ἐξελθὼν ἐν τῇ ὁδῷ καὶ ἰδὼν ἅμαξαν □ *ἐρχομένην τὴν κεφαλὴν τῷ τροχῷ ὑπέθηκε καὶ οὕτω τῷ σφηκὶ συναπέθανεν [φάσκων· „συναπόλλυμαι τῷ ἐχθρῷ μου"].*

ὁ μῦθος πρὸς τοὺς συναποθνήσκειν τοῖς ἐχθροῖς ὑπομένοντας.

237. *ΣΚΩΛΗΞ ΚΑΙ ΔΡΑΚΩΝ*

(Ch. 33)

συκέα παρ' ὁδὸν ἦν. σκώληξ δὲ θεασαμένη δράκοντα κοιμώμενον ἐζήλωσεν αὐτοῦ τὸ μῆκος. βουλομένη δὲ

---

237 cf. Babr. 41 *σαύρα καὶ δράκων*

---

236 (*I*) — CCasACrBBaU — accedunt ex ViBrN et ex Acc.(*β*) CG (= Acc.) **237** — OEe —

---

236 1 *σφήξ ποτε* Cas | *κεφαλῆς* A corr. A[1] | *καθίσασα* B Ba a *καθιστᾶσα* A *πατήσας* Br N | *τοῖς κέντροις* C *τὸ κέντρον* Cr Br N || 2 *πλήττουσα* AB Ba a *πλήττειν διηνώχλει* Acc. | *καὶ* om. AB Ba Br N || 3 *μὴ ἔχων τὸν ἐ. ἄλλως ἀμ.* Br N | *πῶς ἀμ.* U *ἀμύνασθαι καὶ ἀποσοβῆσαι ὡς ἐθεάσατο ἅμαξαν μεστὴν ξύλων ἀμ χανῶν τῇ κεφαλῇ* (*τὴν κεφαλὴν* Kor.) *τῶ* Cas || 4 *τὴν κεφ. ἁμάξης τροχῶ* Acc. — *ἐξελθὼν . . . ἐρχομένην* in A praetermiserat Reiskia, quapropter desunt haec apud Schn. et Ch. *ἁμάξης τροχῶ ὑπέθηκε* (*ὑπέθησε* A *περιέθ.* Br N) *καὶ οὕτω τῷ σφηκὶ συναπέθανεν* AB Ba Br N Acc. qui cetera omittunt. || 5 *συντελευτῶ κἀγὼ τῷ ἐχθρῷ μου* Cas *ὅτι συναπ.* U || epimythium hoc in C Cr Cas Br N *ὅτι τινὲς τοῖς ἐχθροῖς αἱροῦνται συναποθνήσκειν* AB Ba Acc. *ὅτι οὕτω τινὲς κτλ.* Acc. *συναπόλλυσθαι* B Ba *πρὸς τοὺς συγκινδυνεύειν τοῖς ἐχθροῖς πειρωμένους* a U

237 1 *συκέα . . ἦν* delet Ch. sed simile fabulae initium legitur in par. Bodl. 125 Kn. | *σκώληξ*] Crus. Babr. p. 199 *ἀλώπηξ* libri, Ch. vulpis hac in fabula partes esse nullas cum bene observaret St., de avicula quadam dictum putabat, cuius mentionem faciunt Aristo-

αὐτῷ ἐξισωθῆναι παραναπεσοῦσα ἐπειρᾶτο ἑαυτὴν ἐκτείνειν, μέχρις οὗ ὑπερβιαζομένη ἔλαθε ῥαγεῖσα.

τοῦτο πάσχουσιν οἱ τοῖς κρείττοσιν ἀνθαμιλλώμενοι· θᾶττον γὰρ αὐτοὶ διαρρήγνυνται ἢ ἐκείνων ἐφικέσθαι δύνανται.

238. *ΣΥΣ, ΙΠΠΟΣ ΚΑΙ ΚΥΝΗΓΕΤΗΣ*

(Ch. 329)

σῦς ἄγριος καὶ ἵππος ἐν ταὐτῷ ἐνέμοντο. τοῦ δὲ συὸς παρ' ἕκαστα τὴν πόαν διαφθείροντος καὶ τὸ ὕδωρ θολοῦντος ὁ ἵππος βουλόμενος αὐτὸν ἀμύνασθαι ἐπὶ κυνηγέτην σύμμαχον κατέφυγε. κἀκείνου εἰπόντος μὴ ἄλλως δύνασθαι αὐτῷ βοηθεῖν, ἐὰν μὴ χαλινόν τε ὑπομείνῃ καὶ αὐτὸν ἐπιβάτην δέξηται, ὁ ἵππος πάντα ὑπέστη. καὶ ὁ κυνηγέτης ἐποχηθεὶς αὐτῷ καὶ τὸν σῦν κατηγωνίσατο καὶ τὸν ἵππον προσαγαγὼν τῇ φάτνῃ προσέδησεν.

οὕτω πολλοὶ δι' ἀλόγιστον ὀργὴν ἕως τοὺς ἐχθροὺς ἀμύνασθαι θέλουσιν, ἑαυτοὺς ἑτέροις ὑπορρίπτουσιν.

---

238 Aristot. rhet. II 20 1393b 13 Theo. prog. 2 Conon. narrat. 31 Hor. ep. I 10, 34—41 Babr. 166 tetr. I 53

---

238 (*I*) — E e

---

teles et Mnesimachus (diluc. Aes. 399). sed in his fabulis nulla animalia nisi quae omnibus nota sint induci recte monuit Cr, qui idem pro rana in fabulae Babr. 120 paraphrasi Accursiana *σκώληκα* **substitutum esse attulit. ante** *κοιμώμενον* **excidisse aliquid videtur velut** *ὑπὸ ταύτης*. **ceterum cur dormiat draco, idonea causa non est. an** *ὑπὸ ταύτης κείμενον*? || **3** *παραναπεσοῦσα*] St. *παρὰ ἀναπεσοῦσα* E *παραπεσοῦσα* O *παρ' αὐτῷ ἀναπεσοῦσα* Min. || **6** *θᾶττον γὰρ αὐτοὶ*] Oe, inter *θᾶττον* et *διαρρήγνυνται* sex litterarum spatium in E *δυνάμεως* O

238 **1** pro *ἵππος* substituit *ἔλαφος* Minas, cuius inventi ipse in sequentibus oblitus est || **2** *διαφθείροντος*] St. *διαφθείραντες* E e || **3** *ἐπὶ κυνηγέτην σύμμαχον κατέφυγε*] Min. *ἐ. κυν. συμμ. κατέλαβε* E *κυνηγ. σύμμαχον παρέλαβε* St. Ch. *ἐπικυνηγέτην σύμμ. παρέλαβεν* Char. || **5** *χαλινὸν δὲ* Min. || **6** *ἐποχευθεὶς* Min.

239. *ΔΕΝΔΡΑ ΚΑΙ ΚΑΛΑΜΟΣ*

(Halm 179c Ch. 101e)

(*I*) *τὰ δένδρα ποτὲ κατεασσόμενα ὑπὸ τῶν ἀνέμων ὡς ἑώρα τοὺς καλάμους ἀβλαβεῖς διαμένοντας, ἐπυνθάνετο αὐτῶν, πῶς αὐτὰ μὲν ἰσχυρὰ καὶ ἐμβριθῆ ὄντα οὕτως κατακλᾶται, οἱ δὲ λεπτοὶ καὶ ἀσθενεῖς ὄντες οὐδὲν πάσχουσι. κἀκεῖνοι ἔφασαν ὅτι „ἡμεῖς συνειδότες ἑαυτοῖς ἀσθένειαν εἴκομεν τῇ τῶν ἀνέμων προσβολῇ καὶ οὕτω τὰς ὁρμὰς ἐκκλίνομεν· ὑμεῖς δὲ πεποιθότες τῇ ἰδίᾳ δυνάμει ἀντιτείνετε καὶ διὰ τοῦτο κατεάσσεσθε.“*

ὁ λόγος δηλοῖ, ὅτι πρὸς τὰ χαλεπὰ τῶν πραγμάτων τὸ εἴκειν τοῦ ἀντιτάσσεσθαι ἀσφαλέστερον.

κάλαμος καὶ ἐλαία

(Halm 179b Ch. 101f)

(*II*) *διὰ καρτερίαν [καὶ ἡσυχίαν] καὶ ἰσχὺν κάλαμος καὶ ἐλαία ἤριζον. τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας ὡς ἀδυ-*

---

239 (*I*) Babr. 36 tetr. I 45 Av. 16 — Aphth. 36 cf. infra

---

239 (*I*) — CasCrEABBa — accedunt Br et N ex Vi —
(*II*) — VPLBrCas — accedunt B, Ba ex (*I*) (*III δ*) — MSNW TJL, MSW propius ad Acc. accedunt. T Aug. sequitur

---

239 (*I*) 1 *κατεασσόμενα*] Cas Cr B Ba *κατασσόμενα* E *κατεαγόμενα* Br N *κατεαξόμενα* Crus. quod in A exstitit corrigendo obscuratum, *** *ασόμενα* Reiskia, *κατεασόμενα* legit St., *πτεασόμενα* ego. *κατ. ποτε* Cas *ποτὲ* om. Cr | *ἕως* Cas | *ἑώρων* ACr *ἑωράκασι* B *ἆρα* Br N || 2 *ἀσινεῖς* ACr | *διαμ. ἴδον* N | *ἐπυνθάνοντο* ACr B Ba N || 3 *πῶς καὶ τίνι τρόπω αὐτὰ* A | *κατακλῶνται* Cas Br N || 4 *πάσχ. οὐδ.* Cas Br N || 5 *συνειδότες* (*τὴν* Br N) *ἑαυτοῖς ἀσθένειαν*] Cas Br N *συνιδόντες ἑαυτ. ἀσθ.* ACr B Ba *συνιδόντες τὴν ἑαυτῶν ἀσθ.* E *ἤκομεν* Cr || 6 *προσβολῇ* Cas N *συμβολῆς* Cr *συμβολῇ αὐτῶν* Reiskia *ἐμβολῇ* EAB Br || 7 *πεποίθατε ... καὶ ἀντ.* E | *ἀντιστῆναι πειρᾶσθε* A || 8 *κατάσσεσθε* A *κατασεύεσθε* Reiskia *κατεάγεσθε* Br N *κατεᾶσθε* B Ba || 9 *τὰ ἀσφαλῆ* AB Ba | *τοῦ εἴκειν* A || 10 *τοῦ ἀνθίστασθαι* E *τὸ εἴκειν καὶ ὑποτάσσεσθαι* Cas | *ἀσφαλέστερόν ἐστιν* ACr B Ba

(*II*) 1 *καὶ ἡσυχίαν*, omissum in J B Ba, quod frustra explicare conatur Fu, dittographia ex *ἰσχὺν* ortum seclusi || 2 *ὡς* ... (3) *ὄντος ... ὑποκλινομένου*] V P F, sed *ταχέως* pro *ῥαδίως* habet P

νάτου ὄντος καὶ ῥᾳδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος οὐδὲν ἐφθέγξατο. καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἀνέμου ἰσχυροῦ γενομένου ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλιθεὶς τοῖς ἀνέμοις ῥᾳδίως διεσώθη, ἡ δὲ ἐλαία ἐκριζωθεῖσα, ἐπειδὴ ἀντέστη τοῖς ἀνέμοις, τῇ βίᾳ κατεκλάσθη.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι κρείττονές εἰσι τῶν πρὸς μείζονας φιλονεικούντων.

(*III*) *διὰ καρτερίαν καὶ ἰσχὺν [καὶ ἡσυχίαν] κάλαμος καὶ ἐλαία ἤριζον. τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας ὡς ἀδυνάτου καὶ ῥᾳδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο. καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρός, ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις ῥᾳδίως διεσώθη· ἡ δὲ ἐλαία ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη [τῇ βίᾳ].*

(*III δ*) (*III γ*) (*III α*) accedunt Jen. et F(*β*)

---

3 *ὄντος* om. L M S W J, Acc. *ὡς ἀδύνατον εἶναι καὶ* [*μὴ* N] *ὑποκλινομένου* B N *ὡς ἀδύνατος ἔνι* (*ἐστὶ* Fu) *καὶ ῥ. ὑποκλίνεται* Cas, Halm Ch. *ὑποκλίνοντος* J | *ἀνέμοις, οἱ ἀκροώμενοι τῇ ἐλαίᾳ προσέκειντο· ὁ δὲ κάλαμος σιωπῶν οὐκ ἐφθέγγετο. ἐπειδὴ δὲ ἄνεμος ἔπνευσεν ἰσχυρός, ὁ μὲν διασεισθεὶς καὶ ὑποκλ.* S || 4 *σιωπῶν οὐκ ἐφθέγξατο* L M S W, Acc. *ἐφθέγγετο* Br N J | *ἐπειδὴ* om. J || 5 *ἄνεμος ἰσχυρὸς γέγονε* in V suprascripsit m_1 *ἐπειδὴ ἄν. ἔπνευσεν ἰσχυρὸς* L M S W, Acc. || 6 *ἐκριζωθεῖσα*] Br N J, *ῥιζωθεῖσα* cet. || 7 *ἀντέστη*] V P *ἀντίτεινε* cet. Acc. *ἀντέτεινε τῇ σφοδρᾷ τοῦ ἀνέμου πνοῇ* S | *τῇ βίᾳ* om. J *τῇ βής* praebet P post *κατεκλάσθη* e Cas *ἤλεγξεν αὐτήν, ὅτι ματαίως καὶ μάτην ἐπαίρεται ἐπὶ τῇ οἰκείᾳ δυνάμει* Halm Ch., in quibus *καὶ μάτην* delere voluerunt Kor. Halm. in his dissentiunt B Ba: 2 *ὡς ῥᾳδίως πᾶσιν ὑποκλίνειν ἄφνω ὡς προσέλαβεν ἄνεμος· καὶ ὁ μὲν κάλ. ῥᾳδίως ὑποσεισθεὶς διεσώθη. ἡ δὲ ἐλαία ῥίζωθεν* (*ῥιζώθεν* Ba) *πᾶσα τῇ βίᾳ τοῦ ἀνέμου κατεκλάσθη.* || 8 *τῷ καιρῷ καὶ τοῖς κρείττοσι*] V L, *τοῖς καιροῖς κ. τοῖς κρ.* P || 9 *πρὸς* (om. Br) *τὸν καιρὸν καὶ τοὺς κρείττονας* Br N F Cas *κρεῖττον* Br *πρὸς τοὺς φιλονικοῦντας* F *τοῖς φιλονεικοῦσι* *γ* || in Cas alterum epimythium ex Aug. petitum adnectitur: *ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἀντιπίπτειν*

(*III*) 1 *καὶ ἡσυχίαν* om. in J ut dittographiam seclusi *καὶ ἰσχὺν καὶ ὑπομονὴν* F (*β*) | *κάλαμοι* f (*γ*) || 3 *ἀδυνάτου ὄντος* J (*γ*) F (*β*) | *ὁ κάλ. οὐδὲν ἐφθέγξατο* (om. *σιωπῶν*) J || 6 *ὑποκλινθεὶς*] a *ὑποκλιθεὶς* *γ β* || 7 *τῇ βίᾳ* om. in J seclusi

ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

240. *ΥΑΙΝΑΙ*

(Halm 406 Ch. 340)

τὰς ὑαίνας φασὶν παρ' ἐνιαυτὸν ἀλλάττειν τὴν φύσιν καὶ ποτὲ μὲν ἄρρενας γίνεσθαι, ποτὲ δὲ θηλείας. καὶ δήποτε ὕαινα ἄρσην θηλείᾳ παρὰ φύσιν διελέχθη. ἡ δὲ ὑποτυχοῦσα ἔφη· „ἀλλ', ὦ οὗτος, οὕτω ταῦτα πρᾶττε, ὡς ἐγγὺς τὰ αὐτὰ πεισόμενος."

τοῦτο εἰκότως εἴποι ἂν πρὸς τὸν ἤδη ἄρχοντα ὁ μετ' ἐκεῖνον μέλλων, εἰ πλημμελές τι πάσχοι.

241. *ΥΑΙΝΑ ΚΑΙ ΑΛΩΠΗΞ*

(Halm 405 Ch. 341)

τὰς ὑαίνας φασὶ παρ' ἐνιαυτὸν ἀλλασσομένης αὐτῶν τῆς φύσεως ποτὲ μὲν ἄρρενας, ποτὲ δὴ θηλείας γίνεσθαι. καὶ δὴ ὕαινα θεασαμένη ἀλώπεκα ἐμέμφετο αὐτήν, ὅτι φίλην αὐτῇ γενέσθαι θέλουσαν οὐ προσίεται. κἀκείνη ὑποτυχοῦσα εἶπεν·

---

240 (*I*) — EeU (mutilus) — = (*I*a) F versibus inclusam hanc fabulam praebet (Ch. 340b) **241** (*I*a) U inde a vs. 2 *ἀλώπεκα θεασαμένη ἐμέμφετο*

---

8 *τὸν καιρὸν καὶ τοὺς κρείττονας* J (*γ*) F (*β*) | *τοῖς . . . φιλονεικοῦσι* *γ*, M (*δ*) Harl. (*α*)

240 3 *ὕαινα* om. a | *θηλείᾳ παρὰ φύσιν διετέθη* a Min. *ὕαιναν θήλειαν π. φ. διετέθη* E U *πρὸς ὕαιναν θ.* St. | *διελέχθη*] C. Fr. Hermann (mus. Rh. V 620) Halm *διετέθη* libri ‖ 4 inde ab *ἔφη* aberravit U in fabulam insequentem | *οὕτω ταῦτα πρᾶττε κτλ.*] St., ubi tamen *οὕτω* post *ὦ οὗτος* molestum est. an *ὦ οὗτος* delendum? *οὕτω ταῦτα πράττετε ὡς εἶναι ὦτα πεισόμενοι* E *ὡς εἴπερ οὐ τὰ αὐτὰ* Min. *ὦ οὗτος, μὴ ταῦτα* a ‖ 6 *ἄν τις* E Ch. *τις* del. Min. St. | *πρὸς ἄρχοντας λογοθετοῦντας τοὺς ὑπ' αὐτοὺς καὶ πάλιν ἐκ τοῦ συμβεβηκότος τούτους ὑπ' ἐκείνων λογοθετουμένους*, ubi *αὐτοὺς ὑπ' ἐκείνων λογοθετουμένους* scripsit Halm. qui *λογοθετεῖν* idem significare quod vulgare *νουθετεῖν* existimat

„ἀλλ' ἐμὲ μὴ μέμφου, τὴν δὲ σὴν φύσιν, δι' ἣν ἀγνοῶ, πότερον ὡς φίλῃ ἢ ὡς φίλῳ σοι χρήσωμαι."

πρὸς ἄνδρα ἀμφίβολον.

242. *ΤΑΥΡΟΣ ΚΑΙ ΑΙΓΕΣ ΑΓΡΙΑΙ*

(Halm 396b Ch. 332)

□ *ταῦρος διωκόμενος ὑπὸ λέοντος ἔφυγεν εἴς τι σπήλαιον, ἐν ᾧ ἦσαν αἶγες ἄγριαι. τυπτόμενος δὲ ὑπ' αὐτῶν καὶ κερατιζόμενος ἔφη· „οὐχ ὑμᾶς φοβούμενος ἀνέχομαι, ἀλλὰ τὸν πρὸ [τοῦ στόματος] τοῦ σπηλαίου ἑστῶτα."*

οὕτω πολλοὶ διὰ φόβον τῶν κρειττόνων καὶ τὰς ἐκ τῶν ἡττόνων ὕβρεις ὑπομένουσιν.

243. *ΠΙΘΗΚΟΥ ΠΑΙΔΕΣ*

(Halm 366 Ch. 308)

□ (*I*) *τοὺς πιθήκους φασὶ δύο τίκτειν καὶ τὸ μὲν ἕτερον τῶν γεννημάτων στέργειν καὶ μετ' ἐπιμελείας τρέφειν, τὸ δὲ ἕτερον μισεῖν καὶ ἀμελεῖν. συμβαίνει δὲ κατά τινα θείαν τύχην τὸ μὲν ἐπιμελούμενον ἀποθνήσκειν, τὸ δὲ ὀλιγωρούμενον ἐκτελειοῦσθαι.*

---

242 Babr. 91 tetr. I 32 Av. 13 Dosith. 14 cf. infra, Synt. 40 cf. infra **243** cf. Babr. 35 Av. 35 Oppian. cyneg. II 605—11

---

242 (*I*) — CFCasECrABBa — accedunt o ViBrN

243 (*I*) 226 — CACrBBa —

---

241 **5** *ἐμοῦ* U | *ἀγνοεῖς* U || **6** *χρήσωμαι*] Halm *χρήσομαι* a *σοι χρήσομαι* om. U

242 **1** *τι* om. ACr || **2** *αὐτῶν ὁ ταῦρος* ACr B || **3** *ἔφη* om. E Cr post *ἀνέχομαι* collocant C F | *οὐχ ὑμᾶς*] ACr *ἀλλ' οὐχ ὑμᾶς . . . ἀλλὰ* C F B Ba, *ἀλλ' οὐχ ὑμᾶς τὸν δὲ* Cas E Br N || **4** *τὸν πρὸ τοῦ στομίου* om. *τοῦ σπηλαίου* E *τοῦ σπηλαίου* om. *τοῦ στόματος* A quem sequor | *ἑστῶτα* om. B *ἑστῶτα λέοντα* E Cas *δράκοντα* (pro *ἑστῶτα*) *ἢ λέοντα* N || **6** *ἡττόνων*] B *ἐλάττων* N *γειτόνων* cet., deest in Cr

243 (*I*) **1** *ἕτερον* om. A || **3** *ἀμελεῖσθαι* ACr Ba *καὶ ἀμ.* om. B || **4** *ὀλιγωρούμενον ἀναθάλλειν* A *τελειοῦσθαι* Cr

ὁ λόγος δηλοῖ, ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκεν.

(*II*) *τοὺς πίθηκάς φασι δύο τίκτειν καὶ τὸν μὲν ἕνα τρέφειν καὶ περιποιεῖσθαι καὶ ἀγαπᾶν, τὸν δὲ ἕτερον μισεῖν καὶ καταφρονεῖν. συμβαίνει δὲ κατά τινα τύχην τὸν μὲν ἐπιμελούμενον ἡδέως καὶ στερρῶς ἀγκαλιζόμενον παρὰ τῆς μητρὸς ἀποπνίγεσθαι, τὸν δὲ ἀμελούμενον ἐκτελειοῦσθαι.*

ὁ μῦθος δηλοῖ, ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκεν.

244. *ΤΑΩΣ ΚΑΙ ΚΟΛΟΙΟΣ*

(Halm 398 Ch. 334)

(*I*) *τῶν ὀρνέων βουλευσαμένων περὶ βασιλείας ταὼς ἠξίου αὐτὸν χειροτονῆσαι βασιλέα διὰ τὸ κάλλος. ὁρμωμένων δὲ*

---

244 (*I*) Synt. 53 cf. infra

---

243 (*II*) — VPLMoBrCas ⌐ (*III δ*) — MNTF --

244 (*I*) — CFECrAB mutilus) Ba — (*I* a)

---

6 *πάσης πονήρας* B *πονηρίας* Nev. || epimythium ab hac fabula alienum ad fab. 245 referendum putat St. dil. Aes. p. 425

243 (*II*) **1** *φασὶ* om. P M | *τίκτει τέκνα τὸ μὲν ἕνα* Mo *δύο τ. φ.* TF | *καὶ* (ante *τὸν*) om. VP F || **3** *ἀμελεῖν* pro *καταφρονεῖν* V Br N Cas cf. Aug. | *συμβαίνειν* L M | *θείαν τύχην* VMo Cas cf. Aug. | *τοῦ . . . ἐπιμελομένου . . . καὶ ἀγκαλιζομένου* M F || **4.5** *ἐναγκαλιζόμενον* T *ἀγκαλίζεσθαι* Mo *τὸν μὲν ἐπιμελούμενον φθείρεσθαι τὸν δὲ ἀμελούμενον σώζεσθαι* N *τὸν μὲν ἐπιμελούμενον ἐκτελειοῦσθαι* Br in quo priora exciderunt *ἀμελούμενον οὐ μόνον ζωογονεῖσθαι ⟨ἀλλὰ⟩ καὶ τελειοῦσθαι* Mo *τοῦ δὲ ἀμελουμένου* F *ἐκτελειοῦσθαι καλῶς* F || **7** *παρὰ πάσης* Mo | *δυνατωτέρα* om. Mo *δυνατ. καθ. ἡ τοῦ θεοῦ πρόνοια* F *πάση ἐπιμελλείας ἡ τύχη* T *πάσης ἐπιμελείας πρόνοια δυνατωτέρα καθέστηκεν* M

244 **1** *βουλευομένων* E et B ubi scriba ab hac voce aberravit in fab. 249 | *βασιλέως* E | *ὡς* pro *ταὼς* E *ταὼν* A | *ἠξίουν* A qui *αὐτὸν* om. || **2** *χειροτονηθῆναι* F *χειροτονεῖσθαι* Ba | *ὁρμημένων* E *ὡρμημένων* a

ἐπὶ τοῦτο τῶν ὀρνέων κολοιὸς εἶπεν· „ἀλλ' ἐὰν σοῦ βασιλεύοντος ἀετὸς ἡμᾶς διώκῃ, πῶς ἡμῖν ἐπαρκέσεις;"

□ *ὅτι οὐ δεῖ τοὺς δυνάστας κάλλει, ἀλλὰ δυνάμει κοσμεῖσθαι.*

(*II*) *τῶν ὀρνέων βουλομένων ποιῆσαι βασιλέα ταὼς ἠξίου χειροτονεῖσθαι βασιλέα διὰ τὸ κάλλος. ἀρεσθέντων δὲ πάντων κολοιὸς ὑπολαβὼν ἔφη· „ἀλλ' ἐάν σου βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιῶξαι ἐπιχειρήσῃ, πῶς ἡμῖν ἐπαρκέσεις;"*

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς δυνάστας κάλλει, ἀλλὰ φρονήσει καὶ δυνάμει κεκοσμῆσθαι.

(*III*) *τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν. αἱρουμένων δὲ τοῦτο πάντων κολοιὸς ὑπολαβὼν ἔφη· „ἀλλ' εἰ σοῦ βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;"*

ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

(*II*) — VMoBrCas (*III δ*) — N (*III γ*) (*III β*) (*III α*)

---

3 *ἐπὶ τούτων* FA || **4** *ὁ ἀετ.* Cr || **5** *ὅτι οὐ δεῖ κτλ.*] scr. *ὅτι ἀεὶ τοὺς δυν. μὴ κάλλει ἀ. δυν. δεῖ νομίζεσθαι* C Cr F *ὅτι οὐ δεῖ τοὺς δ. μεγέθει καὶ κάλλει κοσμεῖσθαι ἀλλὰ φρονήσει καὶ ἀνδρείᾳ* a *ὅτι οὐ μέμπτοι, ὅσοι προειδότες τοὺς μέλλοντας κινδύνους πρὶν παθεῖν φυλάττονται* E || nullum epim. in A(B) Ba

(*II*) **1** *βουλευομένων* V *δέ ποτε βουλευομένων ἑαυτοῖς χρήσασθαι* (?) *β. τ. ἠξ. ἑ. καταχειροτονῆσαι* (om. *βασιλέα*) Mo *αὐτὸν χειροτονῆσαι* Br *χειροτονηθῆναι* N *εἰς β.* Br N || **2** *τούτου κάλλος* Mo *κάλλος αὐτοῦ* Br N | *τρεσθέντων* Cas *ἀρέσαντο δὲ τὸ βούλευμα* (*ἀρέσατο? ἀρέσαντος τοῦ βουλεύματος?*) *πᾶσι* N | *ἁπάντων τῶν ὀρνέων* Mo *πάντων ἐπὶ τούτῳ τῶν ὀρνέων κολοιὸς αὐτῷ εἶπεν* Cas || **3** *ἔφη αὐτῷ* V | *καὶ ἐὰν* Mo *ἀλλὰ βασ. σου ἐὰν* N *καὶ πῶς* Br || **4** *ἐπιχειρήσεις καὶ βοηθήσῃς* Mo || **5.6** V et Mo maxime secutus sum. *ἐν κάλλει ἀλλ' ἐν φρονήσει κ. δ. κοσμεῖσθαι* V *τοὺς δυνάστας καὶ ἀρχηγοὺς οὐκ ἐν τῷ κ. ἀ. ἐν φρον. κοσμεῖσθαι* (om. *δεῖ*) Mo *ὅτι ἀεὶ* (= *δεῖ*) *τ. δυν. μὴ κάλ. ἀ. φρον. κ. δυν. δεῖ κοσμεῖσθαι* Cas *δηλοῖ τοὺς δυνάστας μὴ κάλ. ἀ. δυν. δεῖ κεκοσμεῖσθαι* Br N *φρονήσει* aut *δυνάμει* superfluum videri potest, sed cf. Acc.

(*III*) **2** *τοῦτον* G f (*γ*) G (*β*), Plan., det. in *α* || **4** *ἐπιχειρεῖ* det. in *α* *ἐπιχειρήσειν* („ubi vera scriptura latet *ἐπιχειρήσειε*" Schn.) Vrat. || **5** *μόνον* om. *γ*

245. *ΤΕΤΤΙΞ ΚΑΙ ΑΛΩΠΗΞ*

(Halm 400 Ch. 335)

τέττιξ ἐπί τινος ὑψηλοῦ δένδρου ᾖδεν. ἀλώπηξ δὲ βουλομένη αὐτὸν καταφαγεῖν τοιοῦτόν τι ἐπενόησεν. ἄντικρυς στᾶσα ἐθαύμαζεν αὐτοῦ τὴν εὐφωνίαν καὶ παρεκάλει καταβῆναι λέγουσα, ὅτι ἐπιθυμεῖ θεάσασθαι, πηλίκον ζῷον τηλικαῦτα φθέγγεται. κἀκεῖνος ὑπονοήσας αὐτῆς τὴν ἐνέδραν φύλλον ἀποσπάσας καθῆκε. προσδραμούσης δὲ τῆς ἀλώπεκος □ *ὡς ἐπὶ τὸν τέττιγα ἔφη· „ἀλλὰ πεπλάνησαι, ὦ αὕτη, εἰ ὑπέλαβές με καταβήσεσθαι. ἐγὼ γὰρ ἀπ' ἐκείνου ἀλώπεκας φυλάττομαι, ἀφ' οὗ ἐν ἀφοδεύματι ἀλώπεκος πτερὰ τέττιγος ἐθεασάμην."*

ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πέλας συμφοραὶ σωφρονίζουσιν. □

246. *ΚΑΜΗΛΟΣ, ΕΛΕΦΑΣ ΚΑΙ ΠΙΘΗΚΟΣ*

(Halm 183 Ch. 146)

τῶν ἀλόγων ζῴων βουλομένων βασιλέα ἑαυτῶν ἑλέσθαι (*I*) *κάμηλος καὶ ἐλέφας καταστάντες ἐφιλονείκουν καὶ διὰ τὸ μέγεθος τοῦ σώματος καὶ διὰ τὴν ἰσχὺν ἐλπίζοντες πάντων προκρίνεσθαι. πίθηκος δὲ ἀμφοτέρους ἀνεπιτηδείους εἶναι ἔφη, τὴν μὲν κάμηλον, διότι χολὴν οὐκ ἔχει κατὰ*

---

245 (*I*) EU = (*I*a) **246** (*I*) CFACr — accedit Br e Vi — (*I*a)

---

245 2 *τι* om. a || 4 *τηλικαύτην φωνὴν φθέγγεται* E || 5 post *ὑπονοήσας* in editionis minoris libris interciderunt versus duo: *ὑπονοήσας αὐτῆς ὡς ἐπὶ* a atque ita Neveletus ex quo pendent editores ante Millerum omnes. *ὑπονοήσας αὐτῆς τὴν*] St. *ὑπ. αὐτοῦ τὴν* E *ὑπ. τὴν ἐκείνου* U || 6 *τῆς ἀλώπεκος* om. E || epimythium fab. 241 — *ὅτι πάσης προνοίας κτλ.* — in E

246 1 *ζῴων τῶν ἀλ.* F | *βουλευομένων* A a | *τινα ἐξ αὐτῶν* Br *ἑαυτῶν* om. A || 2 *καὶ . . . σώματος* om. C F | *ἐφιλονείκησαν* C F || 4 *πίθηξ* Br | *δὲ* om. F | *ἀνεπιτηδείους εἶναι ἔλεγεν* F *ἀν. εἶναι λέγων* C *ἐπιτηδείους εἶναι ἔφη εἶναι* A *ἔφη ἀνεπ. εἶναι* Br a || 5 *χαλινὸν* pro *χολὴν οὐκ* ACr

τῶν ἀδικούντων, τὸν δὲ ἐλέφαντα, ὅτι δέος ἐστί, μὴ αὐτοῦ βασιλεύοντος χοιρίδιον ἡμῖν ἐπιθῆται.

ὁ λόγος δηλοῖ, ὅτι πολλάκις καὶ τὰ μέγιστα τῶν πραγμάτων διὰ μικρὰν αἰτίαν κωλύονται.

paululum immutata haec in N leguntur (Ch. 146b):

(*II*) . . . *βασιλέα ἑλέσθαι τινὰ ἐξ αὐτῶν κάμ. κ. ἐλ. ἐψηφίζοντο, ὁ μὲν διὰ τὸ μέγ., ὁ δὲ διὰ τὴν ἰσχύν. πίθ. δὲ ἀνεπιτηδείους εἶναι ἔφη, τὴν μὲν κάμηλον, ὅτι χολὴν καὶ ἄμυναν ⟨οὐ⟩ τρέφει κατὰ τῶν ἐπταικότων, τὸν δὲ ἐλ., ὅτι δέος ἐστὶν αὐτοῦ βασιλεύοντος μὴ χοιρίδια ἡμῖν ἐπιθήσει.*

ὁ μ. δ., ὅτι πολλάκις τὰ μεγάλα τῶν πραγμάτων παρὰ μικροῖς κωλύονται καὶ οὐ τελειοῦνται.

247. *ΚΥΚΝΟΣ*

(Halm 216 Ch. 175)

τοὺς κύκνους φασὶ παρὰ τὸν θάνατον ᾄδειν. καὶ δή τις περιτυχὼν κύκνῳ πωλουμένῳ καὶ ἀκούσας, ὅτι εὐμελέστατόν ἐστι ζῷον, ἠγόρασε. καὶ ἔχων ποτὲ συνδείπνους προσελθὼν παρεκάλει αὐτὸν ᾆσαι ἐν τῷ πότῳ. τοῦ δὲ τότε μὲν ἡσυχάσαντος, ὕστερον δέ ποτε, ὡς ἐνόησεν, ὅτι ἀποθνήσκειν ἔμελλεν, ἑαυτὸν θρηνοῦντος ὁ δεσπότης ἀκούσας ἔφη· „ἀλλ' εἰ σὺ οὐκ ἄλλως ᾄδεις, ἐὰν μὴ ἀποθνήσκῃς, ἐγὼ μάταιος ἤμην τότε, ὅτε σε παρεκάλουν, ἀλλ' οὐκ ἔθυον."

οὕτως ἔνιοι τῶν ἀνθρώπων, ἃ μὴ ἑκόντες χαρίσασθαι βούλονται, ταῦτα ἄκοντες ἐπιτελοῦσιν.

---

247 (*I*) E = (*I* a)

6.7 *μὴ ἀδικ.* Br | *δέον* F *θεός* A | *αὐτοῦ βασιλ.* om. A | *μὴ . . . χοιρίδιον ἡμῖν ἐπιθῆται*] C F *ἐπιτίθεται* Br | *χοιρίδια ἡμ. ἐπιτίθενται* a *θεός* (*δέος* Cr) *ἐστι καὶ χοιρίδιον δέδοικεν καὶ* (*καὶ* om. Cr) *ὑμῖν ὑποτίθεται* ACr (*δέος ἐστὶ μὴ χοιρ., ὃ δέδοικεν, ἡμ. ἐπιτιθῆται* Schn.) || **9** *παρὰ* (*περὶ* F) *μικρὸν* C F Br | *τοῦ προσδοκωμένου κωλύονται* a

(*II*) **3** *χολὴν καὶ μῆνιν* Char. an *χολὴν εἰς ἄμυναν?* | *οὐ* inseruit Ch. || **4** *χοιρίδια*] Ch. *χείρονα* cod. || **5** *ἐπιθῆται* Ch. || **6** *μικρὸν* Ch.

247 **2** *εὐμενέστατον* a || **3** *ἠγόραζε* E || **4** *ᾆσαι τὸν πότον* a *παρὰ τὸν π.* Kor. || **6** *θρηνοῦντες αὐτὸν* a | *δεσπότης αὐτοῦ* E || **7** *οὐ καλῶς* E || **8** *ἦν, ὃς τότε σε* E || **9** *ἃ μὴ βούλονται ἑκουσίως ποιεῖν, ἄκοντες ταῦτα ἐπιτ.* a | *χαρίσθαι* E

248. *ΖΕΥΣ ΚΑΙ ΟΦΙΣ*

(Halm 153 Ch. 123)

τοῦ Διὸς γαμοῦντος πάντα τὰ ζῷα ἀνήνεγκαν δῶρα, ἕκαστον ὅτι ἐδύνατο. ὄφις δὲ ἕρπων ῥόδον ἀναλαβὼν τῷ στόματι ἀνέβη. ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ἔφη· „τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω· ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω." (*I*) □ □

ὁ λόγος δηλοῖ, ὅτι τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.

τοῦ Διὸς γάμους ποιοῦντος πάντα τὰ ζῷα ἀνήνεγκαν δῶρα, ἕκαστον κατὰ τὴν ἰδίαν δύναμιν. ὄφις δὲ ἕρπων ῥόδον λαβὼν ἐν τῷ στόματι ἀνέβη. ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς εἶπε· „τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω." (*II*)

ὁ μῦθος δηλοῖ, ὅτι τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.

---

248 (*I*) FACrS — (*II*) — VPLMoBrCas (*III δ*) MNTFJ = Babr. ed. Crus. 197

---

248 (*I*) **1** *Διὸς γαμοῦντος* F S qui sub *δ* litera hanc fabulam inserunt. *Διὸς καλοῦντος* S || **2** *ἕκαστον . . ἐδ.* om. A || **3** *τῶν ἄλλων πάντων*] scr. Vind. secutus. *τῶν ἄλλων ἁπάντων* ACr *τῶν μὲν ἄλλων* S *τὰ τῶν ἄλλων* F || **4** *δέχομαι* A | *τοῦ στόματός σου* F S || **6** *τῶν πονηρῶν*] S *πάντων τῶν πονηρῶν* FACr sed cf. rec. Vi

(*II*) **1** *γάμον* T *γαμουποιοῦντος* M *Διός ποτε γάμους ἐπιτελοῦντος* Mo | *ἤνεγκαν* Br N Cas T J || **2** *ἕκαστόν τι* J | *οἰκείαν* Cas || **3** *ἐν* om. T || **4** *π. δῶρον λ.* Mo *τὰ ῥόδα* (*ῥώδα* Br) *λ.* Br J *τὸ μὲν ῥόδον δέχομαι* N *λ., τὰ σὰ οὐ χρήζω* M || **5** *στόμ. λαμβάνω οὐδόλως* Cas || **6** *καὶ αἱ* N | *πονηραί εἰσιν* M | *φοβ. εἰσ. ἤγουν βλαβεραί* T *χάριτες κἂν εὔχρηστοί εἰσιν ἀλλά γε καὶ φοβεραί εἰσι ἐξ ὧν χρὴ παραφυλάττεσθαι* Mo *πρὸς ἄνδρας κακοτρόπους καὶ ὑβριστὰς καὶ τὸν ἰὸν ὥσπερ ὄφις ἐμοῦντας, ὧν τοὺς ἐπαίνους ἐκφεύγειν δεῖ τοὺς ἐχέφρονας καὶ ἀπαναίνεσθαι ὥσπερ δὴ καὶ τὰς ὕβρεις* J

249. *ΤΑΩΝ ΚΑΙ ΓΕΡΑΝΟΣ*

(Halm 397b Ch. 333)

ταὼν γεράνου κατεγέλα κωμῳδῶν τὴν χροίαν αὐτοῦ καὶ λέγων ὡς· „ἐγὼ μὲν χρυσὸν καὶ πορφύραν ἐνδέδυμαι, σὺ δὲ οὐδὲν καλὸν φέρεις ἐν πτεροῖς.“ ὁ δὲ „ἀλλ' ἐγώ,“ ἔφη, „τῶν ἀστέρων ἔγγιστα φωνῶ καὶ εἰς τὰ οὐράνια ὕψη ἵπταμαι, σὺ δὲ ὡς ἀλέκτωρ κάτω μετ' ὀρνίθων βαίνεις.“

ὅτι κρεῖττον περίβλεπτον εἶναί τινα ἐν πενιχρᾷ ἐσθῆτι ἢ ζῆν ἀδόξως ἐν πλούτῳ γαυρούμενον.

250. *ΥΣ ΚΑΙ ΚΥΩΝ*

(Halm 408b Ch. 342)

(*I*) *ὗς καὶ κύων πρὸς ἀλλήλας διεφέροντο. τῆς δὲ ὑὸς ὀμνυούσης τὴν Ἀφροδίτην, ὅτι ἐὰν μὴ παύσηται, τοῖς ὀδοῦσιν αὐτὴν ἀνατεμεῖ, ἡ κύων ἔλεγε καὶ κατ' αὐτὸ τοῦτο αὐτὴν ἀγνωμονεῖν † εἴγε Ἀφροδίτην μισεῖ, ὥστε, ἐὰν φάγῃ τις κρέα ὑός, τοῦτον οὐκ ἐᾷ εἰς τὸ ἱερὸν αὐτῆς εἰσιέναι. καὶ ἡ ὗς ὑποτυχοῦσα ἔφη· „ἀλλὰ τοῦτό γε οὐ στυγοῦσά με ποιεῖ, προνοουμένη δέ, ἵνα μηδείς με θύῃ.“*

---

249 cf. Babr. 65 Av. 15 hanc fabulae Babrianae paraphrasin unus Augustanus exhibet, versibus dodecasyllabis inclusam praebet F (Ch. 333c)

---

249 (*I*) — A — **250** (*I*) F O E Cr A (*I* a)

---

249 **6** *ἐν* in A omissum ex F adscivit Schn.

250 (*I*) **1** *ἀλλήλας*] Ch. *ἀλλήλους* libri || **2** *ὅτι . . . ἀνατεμεῖ*] scr. *ὅτι . . . κατατεμεῖ* F *ὅτι . . . ἀνατέμνει* O a *ὅτι . . . ἀνατέμνειν* E Cr | *τοῖς ὕδασιν* E || **3** *αὐτὴν* om. F A Cr | *ἀνατέμνειν* A Cr *ἀνατεμεῖν* Halm | *ὁ κύων* F O | *καὶ ἐὰν* E *καὶ κατὰ τοῦτο ἄγνωμον αὐτὴν ἦν* (sic) *αὐτὴν* F || **4** quae insequuntur corrupta puto. *εἴγε Ἀφρ. μισεῖ* (*μισεῖν* Cr) F E Cr A *ὃν δὲ ἡ Ἀφροδίτη μισεῖ* O, omissa haec in a. scholion — *ὃν γὰρ ἡ Ἀφροδίτη μισεῖ* — huc irrepsisse haud putaverim, quoniam deae mentionem fieri necesse est, ut *οὐκ ἐᾷ* (5) intellegatur. *ἀγνωμονεῖν, ὅτε ὃν Ἀφροδίτη μισεῖ οὕτως. ὥστε κτλ.* vel *ἐπειδὴ ὃν ἡ Ἀ. οὕτως μισεῖ κτλ.* restituerim. certe *μισεῖ* caret nunc quo referatur. *εἴγε Ἀφροδί⟨τη αὐ⟩τὴν μ.* Bölte | *ὥστε κἂν* F *ἄλλως τε καὶ ἐὰν* E *οὐκ ἐὰν* Schn. || **5** *εἰσελθεῖν* F || **6** *ἀλλ' ὅτι τοῦτο* A | *γε* om. F O Cr a | *με* post *στυγοῦσα* om. A Cr C || **7** *μηδείς με θύῃ*] O *μ. με θύη* E *μ. με θύσει* F *μ. με θύσῃ* Cr a *μή τίς με θύῃ* A

οὕτως οἱ φρόνιμοι τῶν ῥητόρων πολλάκις καὶ τὰ ὑπὸ τῶν ἐχθρῶν προσφερόμενα ὀνείδη εἰς ἐπαίνους μετασχηματίζουσιν.

σῦς καὶ κύων ἀλλήλαις διελοιδοροῦντο. καὶ ἡ μὲν σῦς (*III*) *ὤμνυε κατὰ τῆς Ἀφροδίτης ἦ μὴν τοῖς ὀδοῦσιν ἀναρρήξειν τὴν κύνα. ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε· „καλῶς κατὰ τῆς Ἀφροδίτης ἡμῖν ὀμνύεις. δηλοῖς γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι, ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γενόμενον οὐδ' ὅλως εἰς ἱερὸν προσίεται.“ καὶ ἡ σῦς· „διὰ ταῦτα μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ θεὸς στέργουσά με· τὸν γὰρ κτείναντα ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται. σὺ μέντοι κακῶς ὄζεις καὶ ζῶσα καὶ τεθνηκυῖα.“*

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων τὰ ὑπὸ τῶν ἐχθρῶν ὀνείδη εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

251. *ΥΣ ΚΑΙ ΚΥΩΝ*

(Halm 409b Ch. 343)

ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. τῆς δὲ κυνὸς εἰπούσης, ὅτι μόνη τῶν τετραπόδων ταχέως ἀποκύει, ἡ ὗς ὑποτυχοῦσα ἔφη· „ἀλλ' ὅταν τοῦτο λέγῃς, γίνωσκε, ὅτι τυφλὰ τίκτεις.“ (*I*)

(*III γ*) (*III β*) (*III α*) accedit A (*I* a) **251** (*I*) — CFCasOECr ABU — accedunt e Vi BrN (*I* a)

---

8 *τῶν ἀνθρώπων* F a | *καὶ* om. A || **9** *φερόμενα* Cr *εἰς* om. FACr E *ἐπαίνους* FA *εἰς οἰκείους ἐπαίνους* a

(*III*) **1.7** *ὗς β γ* | *ἀλλήλαις*] Ch. *ἀλλήλοις* libri || **2** *ὤμνυ* (*ὤμνυε λ* J) *γ* || **3** *τὸν κύνα γ* D E J (*α*) || **8** *κτείνοντα* Laud J (*γ*) C G (*β*) || **11** *καὶ οἱ φρ. γ* C Q L (*β*)

251 (*I*) **1** *εὐτεκνίας* E N *εὐτολμίας* Cr Br || **2** *πάντων τετρ.* e Cas edidit Furia — hodie plurima evanuerunt | *ταχέως* om. O E | *κύει* A | *ὑπολαβοῦσα* CF· deest in O Br || **3** *ἔφη· κύε* Br *φράζῃ* E *πράξῃ* O || **4** *τίκτεις* om. CF *γεννᾷς* Cas secundum Furiam hodie evanidum

ὁ λόγος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

(*III*) *ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. ἔφη δὲ ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζῴων, καὶ ἡ ὗς ὑποτυχοῦσα πρὸς ταῦτά φησιν· „ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι, ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις."*

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

252. *ΥΣ ΑΓΡΙΟΣ ΚΑΙ ΑΛΩΠΗΞ*

(Halm 407 Ch. 328)

(*I*) *ὗς ἄγριος ἑστὼς παρά τι δένδρον τοὺς ὀδόντας ἠκόνα. ἀλώπεκος δὲ ἐρομένης τὴν αἰτίαν, δι' ἣν μηδενὸς αὐτῷ μήτε κυνηγέτου μήτε κινδύνου ἐφεστῶτος τοὺς ὀδόντας θήγει, ἔφη· „ἀλλ' οὐ ματαίως τοῦτο ποιῶ. ἐὰν γάρ με κίνδυνος καταλάβῃ, οὐ τότε περὶ τὸ ἀκονᾶν ἀσχοληθήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι."*

ὁ λόγος διδάσκει, ὅτι δεῖ πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖσθαι.

(*IIIγ*) (*IIIβ*) (*IIIα*) accedunt AR (*I*a) 252 (*I*) — CFOE CrASU — (*I*a)

---

5 *ἐν δὲ τῇ* O E A || **6** *κρίνονται* F Cr *γίνονται* A

(*III*) **1.2** *σῦς α* praeter L et Acc. | *ὁ κύων γ* || **2** *πάντων* om. *γ* || **3** *τοῦτο γ β* || **4** *αὐτῆς σκ. τρέφεις ἢ τίκτεις γ* || **6** *γίνεται γ κρῖναι δεῖ* Jen. J G (*β*)

252 (*I*) **1** *σῦς* O E U a qui inter fabulas ab *σ* litera incipientes hanc collocaverunt || **2** *αὐτοῦ* E *αὐτὸν ἐρωτώσης* ACr | *τὴν αἰτίαν δι' ἣν κτλ.*] O E *δι' ἣν αἰτίαν κτλ.* a *ἐρομ. τὴν αἰτίαν, δι' ἣν μηδενὸς ὄντος μήτε κυνηγέτου μήτε κινδύνου ἐφεστῶτος* C F (fuisse videtur *μήτε κυνηγέτου παρόντος μήτε κινδύνου ἐφεστῶτος*) *ἐρωτωμένης πῶς μηδενὸς κτλ.* S *ἐρωτώσης τὴν αἰτίαν, διὰ τί μήτε κυν. μήτε κινδ. ἐνεστῶτος* Cr A || **3** *ὀδ. ἀκονᾷ* E || **4** *ἀλλ' ἔγωγε* E || **5** *περὶ τοῦ ἀκ.* C F U *ἀκονεῖν* A *ἀκονοῦν* S | *ἀσχολήσομαι* A *-ληθησόμεθα* C || **7** *δεῖ* om. C F

ὗς ἄγριος ἑστὼς ἐπί τινος δένδρου τοὺς ὀδόντας ἔθηγε. ἀλώπεκος δὲ ἐρομένης τὴν αἰτίαν ὅτι „μηδεμιᾶς ἀνάγκης ἢ κινδύνου προκειμένου τοὺς ὀδόντας τί θήγεις;" ἔφη· „οὐ μάτην τοῦτο ποιῶ. ἐὰν γάρ με κίνδυνος παραλάβῃ, οὐ τότε ἀκονᾶν ἀσχοληθήσομαι, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρήσομαι." (*II*)

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖν.

μονιὸς καὶ ἀλώπηξ

μονιὸς ἄγριος ἐπί τινος ἑστὼς δένδρου τοὺς ὀδόντας ἔθηγεν. ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προκειμένης ἀνάγκης τοὺς ὀδόντας θήγει, ἔφη· „οὐκ ἀλόγως τοῦτο ποιῶ· εἰ γάρ με κίνδυνος περισταίη, οὔκουν με τηνικαῦτα πρὸς τὸ τοὺς ὀδόντας ἀκονᾶν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι." (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

(*II*) — V P L Mo Br Cas, qui ex Aug. plurima interpolavit (*III δ*) M N T (*III γ*) (*III β*) (*III α*)

(*II*) 1 *Μόνιος* (*Μονυὸς* Br) pro *ὗς ἄγριος* Br N, cf. Acc. *ὑὸς* L M || 2 *ἐρωτομένης* Br *ἐρωτησάσης* Cas | *αἰτίαν καὶ ὅτι* Mo || 3 *κινδύνου προκειμένου ἢ ἀν.* T *μηδενὸς μιᾶς ἀν.* L *ἀνάγκης* (*οὔσης* add. N) *προκειμένης* (om. *καὶ κινδ.*) Br N | *ἵνα τί τοὺς ὀδ. σου* Mo *ὡς οὐ* Mo *ἀλλ' οὐ* Cas || 4.5 *μοι κινδ. ἀπροσδόκητος καταλάβει* Mo *παραλάβοι* L M *περιλ.* Br N *περιάγει* P | *οὐ τότε κτλ.*] V Br N — qui in his dissentiunt *ἑτοίμως* Br *οὖσι* om. Br N *συγχρήσομαι* V *οὐ τ. ἄκονες ἀσχοληθησόμεθα μεθύσω ἀ. μ. κτλ.* L *οὕτω τε περὶ τὸν* (cf. Aug.) *ἀκονᾶν ἀσχολήσω με* rel. desunt P *οὐ τ. ἀσχολ. ἀλλὰ ἑτοίμοις οὖσι χρ.* Mo *οὐ τότε ἄκωνες ἀσχολήσομαι θιγεῖν* (= *θήγειν*) M *οὐ τότε ἀκονῶ ἀλλ' ἑτοίμους αὐτοὺς ἔχω εἰς ἄμυναν* T *οὐ τ. περὶ τὸ ἀ. ἀ. ἑτ. δὲ* Cas || 7 *παρ. ποιεῖσθαι* Mo *παρασκευάζεσθαι* Br N

(*III*) 3 *προσκειμένης* a Acc. | *τί τοὺς* libri praeter J (*γ*) et Jen. (*β*). del. Kor. fuit *τί . . . θήγεις;* || 5 *τὸ* om. G (*β*) Plan. J (*α*) || 6 *ἑτοίμους* Laud J (*γ*) G P (*β*) *ἑτοίμως* D E (*α*) || 7 *πρὸ τῶν κινδύνων β*, Plan. *πρὸ κινδύνων γ πρὸ τοῦ κινδύνου* J (*γ*)

253. *ΦΙΛΑΡΓΥΡΟΣ*

(Halm 412 Ch. 345)

(*I*) *φιλάργυρός τις τὴν οὐσίαν ἐξαργυρισάμενος βῶλον χρυσοῦν ὠνήσατο καὶ τοῦτον πρὸ τοῦ τείχους κατορύξας διετέλει συνεχῶς ἐρχόμενος καὶ ἐπισκεπτόμενος. τῶν δὲ περὶ τὸν τόπον ἐργατῶν τις παρατηρησάμενος αὐτοῦ τὰς ἀφίξεις καὶ ὑπονοήσας τὸ ἀληθές, ἀπαλλαγέντος αὐτοῦ τὸ χρυσίον ἀνείλατο. ὁ δὲ ὡς ἐπανελθὼν εὗρε τὸν τόπον κενόν, ἔκλαιέ τε καὶ τὰς τρίχας ἐσπάρασσεν. ἰδὼν δέ τις αὐτὸν ὑπερπαθοῦντα καὶ μαθὼν τὴν αἰτίαν ἔφη πρὸς αὐτόν· „μὴ λυποῦ· λαβὼν δὲ λίθον κατάθες ἐν τῷ αὐτῷ τόπῳ καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι. οὐδὲ γάρ, ὅτε ἦν, ἐχρῶ αὐτῷ.“*

ὁ λόγος δηλοῖ, ὅτι τὸ μηδέν ἐστιν ἡ κτῆσις, ἐὰν μὴ καὶ ἡ χρῆσις παρῇ.

(*II*) *φιλάργυρός τις τὴν οὐσίαν αὐτοῦ ἅπασαν ἐξαργυρωσάμενος καὶ βῶλον χρυσοῦν ποιήσας καὶ τοῦτον ἔν τινι*

---

253 (*I*) OECrCFCasABBaU — (*I*a) (*II*) VPLMoBr (*III δ*) MNT — tot locis dissentiunt a vulgata BrN, ut seorsim hanc recensionem edendam putaverit Ch. = 345c

---

253 1 (*I*) *τις* om. O E a | *οὐσίαν ἅπασαν* C F cf. Vi | *χρυσοῦ* a || **2** *κατορύξας διέβαλλε· διετέλει δὲ συχνῶς* A *διετ. συνερχόμενος* F || **3** *τοῦτον δὲ ἐπὶ* (*παρὰ* F) *τὸν τόπον τις τῶν ἐργ.* F A Cr B Ba *τις τῶν ἐργ.* Cr. || **4** *παρατ. καὶ καταλαβὼν τὸ χρ.* C F B (excidit versus) *πολλάκις βλέπων παρατηρ. τε αὐτοῦ τὰς ἀφ. καὶ καταλαβὼν αὐτοῦ τὸν χρυσὸν ἀφείλατο* A Cr Ba | *ἀφίξεις ὑπενόησε τὸ ἀληθές. ἀπαλλ. οὖν* Cas || **6** *ὁ* (*ὃς* U) *δὲ ἐπαν. καὶ κενὸν εὑρὼν τὸν τ.* A Ba U *κενὸν* om. C E || **7** *τε* om. O E Cas | *ἐσπάρασσεν*] E *ἐσπάραττεν* O B U a *ἔτιλλεν* C F Cas A Cr || **8** *ὑπερπαθοῦντα*] Kor. cf. infra 255, 3 *ὑπερπαθόντα* O E Cas B *καὶ ὑπερπαθόντα* a *περιπαθῆ ὄντα* O *ὑπεραλγοῦντα* C F *θρηνοῦντα* U *αὐτὸν καὶ καταμ.* A Cr Ba || **9** *μὴ λυποῦ, ἑταῖρε* (*ἑτ.* om. Cas), *ἀλλὰ λαβὼν λίθον* A Cr Cas *ἀλλὰ λαβὲ λίθ. καὶ κατάθες αὐτὸν* U *λαβὼν δὲ τούτου λίθον* E (*τούτου* del. St. an *ἀντὶ τούτου*?) *ἐν* om. Cas *αὐτῷ* om. B Ba U a || **10** *εἶναι κείμενον* O *εἶναι* U *ἔχειν* a || **12** *τὸ* (*τῷ* C) *μηδέν ἐστιν*] C F O E Cr *οὐδέν ἐ.* Cas *ἡ κτῆσις οὐδέν ἐστι* A B Ba *ματαία ἡ κτ.* a U | *καὶ* om. Cr || **13** *μὴ χρηστά τις ἐπάρῃ* Cas

(*II*) **1** *πᾶσαν* Mo M T || **2** *πάντα βῶλον ἕνα χρ.* Mo T | *ᾠὸν χρυσοῦν*

τοίχῳ κατορύξας καθ' ἑκάστην ἐρχόμενος ἑώρα αὐτόν. καὶ δὴ τῶν ἐργατῶν τις παρατηρήσας τοῦτον, καταλαβὼν τὸν τόπον καὶ τὸ χρυσίον εὑρὼν ἀνείλατο. μετὰ μικρὸν δὲ ἐλθὼν ὁ ἴδιος καὶ μὴ εὑρὼν αὐτὸ ἤρξατο κλαίειν καὶ τίλλειν τὰς τρίχας αὐτοῦ. ἰδὼν δέ τις αὐτὸν οὕτως ὀλοφυρόμενον ἐπυνθάνετο τὴν αἰτίαν καὶ μαθὼν ἔφη αὐτῷ· „ὦ οὗτος, μὴ λυποῦ, ἀλλὰ λαβὼν λίθον θὲς ἀντ' αὐτοῦ καὶ νόμιζε τὸ χρυσίον εἶναι. ὡς γὰρ ὁρῶ, οὐδὲ ὅτε ἦν, ἔχρῃζες αὐτό."

ὁ μῦθος δηλοῖ, ὅτι οὐδέν ἐστιν ἡ κτῆσις, ἐὰν ⟨μὴ⟩ ἡ χρῆσις παρῇ.

φιλάργυρός τις ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος καὶ χρυσοῦν βῶλον ποιήσας ἔν τινι τόπῳ κατώρυξε συγκατορύξας ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν καὶ καθ' ἡμέραν ἐρχόμενος αὐτὸν ἔβλεπε. τῶν δ' ἐργατῶν τις αὐτὸν παρατηρήσας καὶ τὸ γεγονὸς συννοήσας ἀνορύξας τὸν βῶλον ἀνείλετο. μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν καὶ κενὸν τὸν τόπον ἰδὼν θρηνεῖν ἤρξατο καὶ τίλλειν τὰς τρίχας. τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν καὶ τὴν (*III*)

(*IIIγ*) (*IIIβ*) (*IIIα*) **accedunt AR** (*I* a)

(*λαβὼν χρυσοῦν* Br) *ὠνήσατο καὶ τοῦτον* (*τοῦτο* N) *πρὸς τὸ τεῖχος* (*τὸ τοῦ τείχους* Br) *ὀρύξας κατέθετο συνεχῶς πρὸς ἐπίσκεψιν ἐρχόμενος* Br N ‖ **3** *κατώρυξε τοῦτο. καθ' ἑκ. δὲ* Mo ‖ **4** *τοῦτον* om. T | *καταλ. τὸν τ.* om. Mo *εἷς δέ τις παρατηρήσας* (*τηρήσας* Br) *τὰς ἀφίξεις καὶ* (*καὶ* om. Br) *καταλαβ. τ. χρ. ἀφειλ.* Br N ‖ **5** *ἆρον* pro *εὑρὼν* P qui *ἀνείλατο* om. | *δὲ* om. P ‖ **6** *ἴδιος δεσπότης* T, Ch. sed *ἴδιος* = *ὁ αὐτός*, cf. Ursing p. 93 | *τοῦτο μὴ* Mo *τὸν χρυσὸν μὴ* T | *κλαίων καὶ τύλη τὰς τύχας αὐτοῦ* P ‖ **7** *αὐτὸν* om. P Mo | *ὁ δὲ ὡς ἐπανελθὼν κενὸν εὗρε τὸν τόπον κλαίων τὰς τρ. ἔτιλλεν* (*κλ. δὲ ἐπείραται* (sic) *τὰς τρ.* Br) Br N ‖ **9** *βαλὼν* P M | *λίθων ἄλλον θὲς αὐτοῦ* P | *τὸ* om. M ‖ **10** *ἔχρ. αὐτόν* P T *αὐτοῦ* L *ἰδὼν δέ τις αὐτὸν οὕτως πάσχοντα καὶ μαθὼν τὴν αἰτίαν ἔφη· μὴ λυποῦ· λαβὼν* (*λαχὼν* Br) *γὰρ λίθον κατάθες ἐν τῷ αὐτῷ τόπῳ καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι* Br N ‖ **11** *εἰς οὐδὲν* Br N | *κτῆσις τῶν χρημάτων* T | *καὶ ἡ* Mo ‖ **12** *χρεία* T *χρῆσίς ἐστιν* P L M *χρῆσις παρῆν* Br

(*III*) **1** *τις* om. *γ* ‖ **2** *χρυσοῦ* Jen. (*β*) ‖ **3** *τὴν* om. *γ*, *β* Plan. J K E Mo Bo[1] (*α*) Acc. ‖ **7** *ἤρξατο θρηνεῖν* *γ* G J (*β*)

αἰτίαν πυθόμενος „μὴ οὕτως,“ εἶπεν, „ὦ οὗτος, ἀθύμει· οὐδὲ γὰρ ἔχων τὸν χρυσὸν εἶχες. λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι. τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν. ὡς ὁρῶ γάρ, οὐδ᾽ ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος.“

ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

254. *ΧΕΛΩΝΗ ΚΑΙ ΛΑΓΩΟΣ*

(Halm 420 Ch. 353)

(*I*) *χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον. καὶ δὴ προθεσμίαν στήσαντες τοῦ τόπου ἀπηλλάγησαν. ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο. ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ βραδύτητα οὐ διέλιπε τρέχουσα καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα ἐπὶ τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.*

ὁ λόγος δηλοῖ, ὅτι πολλάκις φύσιν ἀμελοῦσαν πόνος ἐνίκησεν.

versibus compositam exhibent (*II*) VOPMoCas et (*III δ*) — NTF = Ch. 353b.

(*III γ*) *ποδῶν χελώνης κατεγέλα λαγωὸς καὶ ἀργίας. ἡ δὲ ἔφη· „ἐγώ σε τὸν ταχὺν ἐν τοῖς ποσὶ νικήσω.“ ὁ δέ· „λόγῳ μόνῳ, χελώνη, λέγεις τοῦτο· ἀλλ᾽ ἔριζε καὶ γνώσῃ. τίς δὲ τὸν τόπον ὁριεῖ καὶ βραβεύσει τὴν νίκην;“ ἀλώπηξ δέ, δικαία καὶ σοφωτάτη, ἔταξεν ὁδὸν τῶν δρό-*

---

254 (*I*) cf. Babr. 177 Liban. 2 cf. infra Crus. de B. aet. 222

---

254 (*I*) COEACrBU — (*I* a) (*III γ*) — FfVo (= cod. Huds. Hptm. p. 228 Kor. 287b) Laud — accedit W (*δ*) = par. 129 Kn.

---

9 *μὴ ὦ, εἶπεν, οὗτος γ, οὕτως* om. Gorl. (*γ*) et Jen. (*β*), qui elegantius *μή, ὦ οὗτος, ἀθύμει* praebet *ὦ οὗτος* om. Go Harl[s] (*γ*)

254 (*I*) 1 *ὠκύτητος* O ‖ 2 *τοῦ τόπου*] scr. *καὶ τόπον* OACr B *καὶ τόπων* (*τόπον* St.) C E *καὶ τοῦ τόπου* U *καὶ ὁ μὲν* C ‖ 4 *παρ᾽ ὁδὸν* C O B | *ἑαυτῇ βραδύτητα*] C E B *ἑαυτῇ τὴν βρ.* O *ἑαυτῆς τὴν βρ.* ACr *τὴν ἑαυτῆς βρ.* U *ἑαυτὴν βραδυτάτην* a ‖ 5 *διέλειπε* a ‖ 6 *εἰς τὸ* ACr U a ‖ 7 *φύσιν μέλλουσαν* O | *ὁ πόνος* A

μων τὴν εὐθεῖαν. ἡ δὲ χελώνη μὴ ῥαθυμήσασα ἤρξατο τῆς ὁδοῦ πρὸς τὸ αὐτῆς ἀφορῶσα δυσκίνητον. ὁ δὲ λαγωὸς θαρρῶν τοῖς ποσὶν ἐκοιμήθη καὶ ἐλθὼν ἐπὶ τὸν ὡρισμένον τόπον εὗρε νικῶσαν τὴν βραδεῖαν χελώνην.

ὅτι πολλοὶ τῇ μὲν φύσει ἀργοὶ τῇ δὲ προθυμίᾳ σύντονοι τοὺς φύσει ταχεῖς, ῥαθύμους δὲ νικῶσιν.

255. *ΧΕΛΙΔΩΝ ΚΑΙ ΔΡΑΚΩΝ*

(Halm 418 b Ch. 348)

χελιδὼν ἔν τινι δικαστηρίῳ νεοττοποιησαμένη ἐξέπτη. (*I*) *δράκων δὲ προσερπύσας κατέφαγεν αὐτῆς τοὺς νεοττούς. ἡ δὲ ἐπανελθοῦσα καὶ τὴν καλιὰν κενὴν εὑροῦσα ὑπερπαθῶς ἔστενεν. ἑτέρας δὲ χελιδόνος παρηγορεῖν αὐτὴν πειρωμένης καὶ λεγούσης, ⟨ὅτι⟩ οὐ μόνον αὐτὴν τέκνα ἀποβαλεῖν συμβέβηκεν, ὑποτυχοῦσα ἔφη· „ἀλλ' ἔγωγε οὐ τοσοῦτον ἐπὶ*

---

255 (*I*) Babr. 118 (*χελ. κ. ὄφις*) tetr. I 56 (*χελ. κ. δράκων*). *χελιδών καὶ δράκων*] praefixit Nev., *χελιδὼν καὶ ὄφις* editores praeter Furiam, qui *χελιδὼν ἐν δικαστηρίῳ* dedit

---

255 (*I*) O E Cas C F A Cr — accedunt ex Vi Br et N

(*III*) 5 *μὴ* om. Laud ‖ 9 *προθυμίᾳ σύντονοι*] Laud W *συντομία* rel. (= *συντονία* Char.). in his dissentit par. *καὶ ἀργίας* om. — *τὸν ταχύπουν νικήσω χελώνη* om. *γνῶθι ὁρίσει ἔφη . . . ἀλώπηξ ἔφη ἡ δικ. κ. σοφωτάτη. ἔταξε δὲ τὴν ἀρχὴν τῆς ὥρας τοῦ δρόμου . . . τῆς ὁδοῦ. ὁ δὲ λαγ. τοῖς ποσὶ θαρρῶν* — om. *πρὸς τὸ αὐτ. δυσκίν. . . . ἐλθὼν δὲ . . . εὗρε τὴν χελ. νικήσασαν. ὅτι πολλοὶ φύσεις ἀνθρώπων εὐφυεῖς εἰσιν ἀλλ'· ἐκ τῆς ῥαθυμίας ἀπώλοντο· ἐκ δὲ νήψεως καὶ σπουδῆς καὶ μακροθυμίας τινὲς καὶ φύσεως ἀργῆς περιεγένοντο.*

255 (*I*) 1 *ἐξέστη* A Cr ‖ 2 *ὄφις δὲ* F A Cr *δέ τις ἑρπύσας* C[2] ‖ 3 *κενὴν ἰδοῦσα* C F *καὶ θεασαμένη τὴν καλ. κενὴν* Br N | *ὑπερπαθῶς ἔστενεν*] O E *περιπαθῶς ἐστέναζεν* Cas *ὑπερπαθοῦσα ἔστ.* (*ἔστ. ὑπ.* C) C F A Br N ‖ 4 *αὐτὴν βουλομένης* C F A Cr Br N ‖ 5 *καὶ λεγούσης, ὅτι . . . συμβέβηκεν*] St. *καὶ λεγ. οὐ* (*οὐ* om. Cr) *μόνον αὐτ. τ. ἀποβ. συμβέβηκεν* (*συμβεβηκέναι* Cr) O E C F Cr *καὶ λεγ. οὐ μόνην κτλ.* Cas. *καὶ λεγ. ὅτι οὐ μόνον* (*ἐν* N) *σοὶ τοῦτο συμβέβηκεν* (*συνέβη* N) Br N *καὶ λεγούσης μόνον ἆρξαι* (? *ἆρά σοι* legit Reiskia *ἄρτι* St.) *τὰ τέκνα ἀποβ. συμβέβηκεν* A, ubi in fine interrogandi signum posuit Schn. an fuit *μόνον οἴει σοι . . . συμβεβηκέναι*? ‖ 6 *συμβέβηκεν ἀλλὰ καὶ τὸν ἄρρενα* C F | *ὑπολαβοῦσα* C F Cas

τοῖς τέκνοις κλαίω, ὅσον ὅτι ἐν τούτῳ τῷ τόπῳ ἠδίκημαι, ἐν ᾧ οἱ ἀδικούμενοι βοηθείας τυγχάνουσιν.“

ὁ λόγος δηλοῖ, ὅτι χαλεπώτεραι γίνονται τοῖς πάσχουσιν αἱ συμφοραί, ὅταν ὑφ᾽ ὧν ἥκιστα προσεδόκησαν, ἐπιφέρωνται.

(*III γ*) *ξένη χελιδὼν ἡ τοῖς ἀνθρώποις συνοικοῦσα ἐν δικαστηρίῳ τὴν ἑαυτῆς ἔπηξε καλιὰν ἐν τοίχῳ κἀκεῖ γίνεται τῶν ἑαυτῆς νεοττῶν μήτηρ. ὄφις δὲ ἐκ τρώγλης συρεὶς τοὺς ἑαυτῆς κατέφαγε νεοσσούς. ἡ δὲ χελιδὼν θρηνοῦσα ἐκεκράγει· „οἴμοι τῇ ξένῃ, ὅτι, ἔνθα πάντες δικαιοῦνται, μόνη ἔγωγε ἠδίκημαι ἀδίκως.“*

[*ὁ μῦθος δηλοῖ, ὅτι ἐν τόπῳ ἐκδικήσεως ἀδικεῖταί τις.*]

256. *ΧΗΝΕΣ ΚΑΙ ΓΕΡΑΝΟΙ*

(Halm 421 Ch. 354)

(*I*) *χῆνες καὶ γέρανοι τὸν αὐτὸν λειμῶνα ἐνέμοντο. ἐπιφανέντων δὲ αὐτοῖς θηρευτῶν αἱ μὲν γέρανοι ἐλαφραὶ οὖσαι*

(*III γ*) — Ff Vo Laud (Salm.) B[2]a Acc. W (*δ*) = paraphr. Kn. 96
256 (*I*) F Cas O E Cr A B Ba U (*I* a) Synt. 60 cf. infra

---

7 *κλαίω ἀλλ᾽ ὅτι* C F Cas || **8** *οἱ* om. O | *βοηθοῦνται* C F Cr A Br N || finem epimythii quod in X aut omnino non aut satis corruptum legebatur vario modo suppleverunt rhetores || **10** *ἐπιφέρωνται*] O *ἐπιφαίνονται* Br *ὑφίστανται* E (*ὑφιστῶνται* St.) *πάσχωσι* C Cas F *ἐν τόπω διακρινομένω τὸ δίκαιον ἀδικοῦνται* (= *κῶνται*) N *ὅταν οἱ κριταὶ δι᾽ αἰσχροκέρδειαν προσωποληπτοῦσι* A Cr

(*III*) **1** *ἐνοικοῦσα* Laud || **2** *τὴν καλιὰν αὐτῆς ἐπ. ἐν τ.* par. | *κἀκεῖσε νεοττῶν ἑπτὰ γίνεται μ.* par., quod receperunt Huds. Kor. Ch. || **3** *συρεὶς πάντας κατ.* par. || **5** *ἐκεκράγει* om. par. | *οἴμοι ἔλεγεν ὅτι* (*τῇ ξ.* om.) par. || **6** *ἐγὼ ἠδικήθην* par. || **7** epimythium nullum in *γ*, par. quod recepi in W legitur. [*ὅτι*] *τοὺς ἀδίκῳ γνώμῃ τυραννοῦντας τοὺς πέλας ἐν παραβάσει νόμου ὁ μῦθος ἐλέγχει* promythium in par.

256 (*I*) **1** *χὴν* A Ba unde titulum *χὴν καὶ γέρανοι* praefixit Schn. | *τῶ αὐτῶ λειμῶνι* O || **2** *οἱ ... ὄντες* Cr a

ἀπέπτησαν, οἱ δὲ χῆνες μείναντες διὰ τὸ βάρος τῶν σωμάτων συνελήφθησαν.

οὕτω καὶ τῶν ἀνθρώπων, ἐπὰν στάσις ἐν πόλει γένηται, οἱ μὲν πένητες εὐπρόφοροι ὄντες ῥᾳδίως ἀπὸ πόλεως εἰς πόλιν σῴζονται, οἱ δὲ πλούσιοι διὰ τὴν τῶν ὑπαρχόντων ὑπερβολὴν μένοντες πολλάκις δουλεύουσιν.

(*II*) *χῆνες καὶ γέρανοι τὸν αὐτὸν λειμῶνα ἐνέμοντο. ἐπιφανέντων δὲ θηρευτῶν οἱ μὲν γέρανοι ἐλαφροὶ ὄντες ταχέως ἀπέπτησαν καὶ διεσώθησαν, αἱ δὲ χῆνες μείνασαι διὰ τὸ βάρος τῶν σωμάτων συνελήφθησαν.*

ὁ μῦθος δηλοῖ, ὅτι οὕτως καὶ ἐπ' ἀναστάσεως πόλεως γίνεται· οἱ μὲν πένητες ῥᾳδίως μεταβαίνουσιν ἀπὸ πόλεως εἰς πόλιν διὰ τὸ ἀκτήμονες εἶναι, οἱ δὲ πλούσιοι διὰ τὴν ὑπερβολὴν τῶν χρημάτων μένουσι πολλάκις καὶ δουλεύουσιν.

(*II*) — VPLMoBrCas — (*III δ*) — MNTE —

---

3 *ἀπέπτησαν*] O E Cr *διεσώθησαν* F B Ua *ἐσώθησαν* A Ba *ἐλαφροὶ ὄντες* (ita Cr quoque) *ταχέως ἀπέπτησαν καὶ διεσώθησαν, αἱ δὲ χ. μείνασαι* Cas | *διὰ . . . σωμάτων* om. F B ‖ huius quoque in fabulae epimythium cadit quod ad antecedentis fabulae conclusionem adnotavi. nullum epimythium in O U, quae in O a manu secunda suppleta legebantur, evanuerunt hodie. brevissimum epimythium in A Ba: *οὕτω καὶ τῶν ἀνθρώπων οἱ μὲν πένητες σῴζονται, οἱ δὲ πλούσιοι ἀπόλλυνται.* quod dedi ad F Cas E Cr B lectiones refinxi. ‖ **5** *ἐπὶ τῶν* F | *ἐπὰν στάσις*] Ba *ἐπανάστασις* B *ἐπ' ἀναστάσει* F *ἐπὶ ἐπαναστάσεσι* Cas *ἐπὰν πόλεμος* E Cr | *πόλεων* pro *ἐν πόλει* F Cas B *ταραχῆς ἐν πόλει γενομένης* a ‖ **6** *ἐλαφροὶ* pro *εὐπρόφοροι* Cr *εὐπρόφοροι* suspectum, *εὐπερίφοροι* Char. ‖ **8** *μένοντες ἀπόλλυνται* Cr *ῥᾳδίως διασῴζονται, οἱ δὲ δυνάμενοι διὰ τὸν ὄγκον τῶν ὑπ. κτλ.* a

(*II*) **1** *ἐπὶ τοῦ* (*τοῦ* om. Br) *λειμόνος* Br N ‖ **2** *δὲ αὐτοῖς* (cf. Aug.) Br N Cas ‖ **3** *ἐσώθησαν* V P L T *ἐσ. ἅπαντες* P L T | *χῆνες μὴ δυνάμενοι* Mo E ‖ **4** *τῶν σωμάτων* om. Br N ‖ **5** epim. V Mo M T E secutus restitui. *ἐπ' ἀναστάσεως*] Mo *ἐπ' ἐπαναστ.* V M T P L *ἐπὶ μεταναστάσεως* E *οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων ἐπὶ ἐπαναστάσεσι πόλεων* Cas *εἰς τὰς ἐπαναστάσεις* Br N | *γίνεται*] M om. P Br N *γίνονται* cet. ‖ **6** *πολλῶν οἱ μὲν* P | *πέν. διὰ τὸ ἀκτήμονες εἶναι* Cas *πέν. ἀπρόσφοροι ὄντες* (cf. Aug.) Br N | *ἐπιβαίνουσι ἀπὸ πολλῶν ἀπὸ πόλεως εἰς π.* P ‖ **7** *διὰ τὸ ἀκτ. εἶναι* om. Br N *διὰ τὸ πλῆθος τῶν χρ.* Mo E *διὰ τὰ ὑπάρχοντα* (*διὰ ὑπαρχόντων* Br) Br N *διὰ τὴν τῶν ὑπαρχόντων ὑπερβ.* Cas ‖ **8** *πολλ. καὶ κινδυνεύουσιν* Mo E *μένοντες δοῦλοι γίνονται* (cf. Aug.) Br N *μένοντες πολλάκις δουλεύουσιν* E Cas

(*III*) *χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. τῶν δὲ θηρευτῶν ἐπιφανέντων οἱ μὲν γέρανοι κοῦφοι ὄντες ταχέως ἀπέπτησαν, οἱ δὲ χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες συνελήφθησαν.*

ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

257. *ΟΝΑΓΡΟΣ ΚΑΙ ΛΥΚΟΣ*

(Halm 334 Ch. 282d)

χωλὸς ὄναγρος ὑπὸ σκόλοπος ἐγκεντρισμένος ὀδυνηρῶς ἔφερε τὸν πόδα ἀλγῶν καὶ διαβῆναι τὸν ποταμὸν μὴ δυνάμενος. λύκος δὲ βριαρὸς αὐτὸν συναντήσας ἔμελλε κατεσθίειν ἕτοιμον εὑρὼν θήραμα. ὁ ὄναγρος δὲ αὐτοῦ ἐδέετο λέγων· „παῦσόν με πρῶτον τοῦ πόνου τὸν σκόλοπα ἐκ τοῦ ποδὸς ἑλκύσας.“ τοῦ δὲ λύκου τοῖς ὀδοῦσι τὸν σκόλοπα ἐξελκύσαντος ὁ ὄνος κουφισθεὶς τῆς τοῦ ποδὸς ἀλγηδόνος λακτίσας αὐτὸν τοῖς ποσὶ νεκρὸν ἀφῆκε καὶ εἰς ὄρος δραμὼν ἐσώθη.

διδάσκει ἡμᾶς ὁ λόγος, ὅτι κακῷ καλὸν ποιήσας οὐχ ἕξεις εὐχαριστίαν, ἀλλὰ μᾶλλον λοιδορίαν.

---

257 eandem fabulam multo melius narratam habes supra 198

(*III γ*) (*III β*) (*III α*)
257 (*I*) CFACr accedit Br ex Vi

(*III*) 1 *ἐβόσκοντο γ* Plan.

257 1 *ἐκκεντριζόμενος* Br *ἐγκεκεντρισμένος* Ch. || 2 *τὸν πόδα ἐκ τῶν ἐλλγῶν?* A *ἐλθὼν* Reiskia *ἐκ τῶν ἑλκῶν* Schn. (fuisse puto *ἰλλιγιῶν*) || 3 *δυνάμενος λύκος ἀπαντήσας ἔμελλε* (*δυνάμενον λ. ἀπ.* Schn.) A *λ. αὐτὸν ἀπ.* Cr *αὐτὸς βριαρὸν* F *λ. οὖν αὐτῷ βριαρὸς* Cr || 4 *εὑρ. εἰς θήραν* (*θηρᾶν* A) CrA *θήραμα ὢν* Br || 5 *πρῶτον*] C Br *πρότερον* F, om. in ACr || 6 *ἐκ τοῦ* (5) . . . *σκόλοπα* om. F *ἐκ τοῦ π. τὸν σκόλοπα* CBr *τοῦ ποδὸς τὸν σκόλοπα* om. F || 7 *ὁ ὄναγρος* F || 8 *λακτίσας τοῖς ποσὶ τοῦ λύκου τὸ στόμα νεκρὸν* ACr *τοῦ δὲ λ. ἑλκύσαντος τὸ βέλος καὶ κουφισθέντος αὐτοῦ ἐκ τῆς ἀλγηδόνος λακτήσαντος τοῦ λύκου τὸ μῆκος* (= *τὸν μυκτῆρα* Bölte) *νεκρ. ἀφ.* Br | *καὶ ὁ ὄνος δραμὼν διεσώθη* ACr Br || 10 *κακὸν εὐεργέτην* (= *-γετῶν*) Br || 11 *μᾶλλον δὲ λοιδ.* A

258. *ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΩΝΗ*

(Halm 415 Ch. 349)

χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν. ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὴν εἶπεν· „ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δὲ ἐμὸν σῶμα καὶ χειμῶνι ἀντιτάσσεται.“ (*I*)

ὁ λόγος δηλοῖ, ὅτι ἡ τοῦ σώματος παράτασις εὐπρεπείας καλλίων.

χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν. ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὴν εἶπε· „ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δὲ ἐμὸν καὶ χειμῶνι παρατείνεται.“ (*III*)

ὁ μῦθος δηλοῖ, ὅτι ἡ παράτασις τοῦ σώματος εὐπρεπείας κρείττων ἐστίν.

259. *ΧΕΛΩΝΗ ΚΑΙ ΑΕΤΟΣ*

(Halm 419 Ch. 352)

χελώνη θεασαμένη ἀετὸν πετόμενον ἐπεθύμησε καὶ αὐτὴ πέτεσθαι. προσελθοῦσα δὲ τοῦτον παρεκάλει ἐφ' ᾧ βούλεται μισθῷ διδάξαι αὐτήν. τοῦ δὲ λέγοντος ἀδύνατον εἶναι (*I*)

---

259 (*I*) Babr. 115 et iamb. 11 p. 218 Crus. tetr. I 40 Av. 2. multo melius enarrata haec fabula in Acc. legitur

---

258 (*I*) — FCasACrBBaU (*I* a) (*III γ*) (*III β*) (*III α*)
259 (*I*) — CFCasACrBBa, U (= a) (*I* a)

---

258 (*I*) **1** *κ. ἤριζον* Cas | *ὑπολαβοῦσα* F U || **2** *μὲν* om. A || **3** *ἀνθεῖ* om. F | *μετὰ χειμῶνος παράτασιν* U || **4** *ἀντιτάσσεται*] F Cas A_2 *παρατάσσεται* A_1 Cr B Ba a *παρατείνεται* ex Acc. edit. || **5.6** *παράτασις*] Ba *παράστασις* F *παράταξις* Cas A Cr B | *καλλονή* Cas *ὅτι βέλτιον ἀνδρεία σώματος ὑπὲρ εὐπρέπειαν* a *ἀνδρεῖον σῶμα εἴπερ* (*ἤ περ* Mill.) *εὐπρεπές* U

(*III*) **5** *παράστασις* D E (*a*)

259 (*I*) **2** *πετᾶσαι* Cas || **2.3** *ἐπὶ μισθῷ διδάξαι αὐτὴν ἐφ' ᾧ βούλεται* C F *καὶ προσ.* a malim *προσ. οὖν* | *δὲ* om. Cas | *τοῦ δὲ πείθοντος καὶ λέγοντος* A Ba

καὶ ἔτι αὐτῆς ἐπικειμένης καὶ ἀξιούσης, ἄρας αὐτὴν καὶ μετέωρος ἀρθεὶς ἀφῆκεν ἐπί τινος πέτρας, ὅθεν κατενεχθεῖσα διερράγη [καὶ ἀπέθανεν].

ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες ἑαυτοὺς καταβλάπτουσιν.

(*II*) *χέλος ἄρρην θεασάμενος ἀετὸν ἐπεθύμησε καὶ αὐτὸς πετασθῆναι. προσελθὼν δὲ πρός τινα παρεκάλει αὐτὸν ἐπὶ μισθῷ διδάξαι αὐτὸν τοῦ πετάσαι. τοῦ δὲ λέγοντος ἀδύνατον εἶναι ἐκεῖνος παρακούσας ἀναβὰς εἰς ὕψος ἀφῆκεν ἑαυτὸν καὶ παραχρῆμα ἐπὶ πέτραν πεσὼν διερράγη.*

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν ταῖς φιλονεικίαις τῶν φρονιμωτέρων αὐτῶν παρακούσαντες ἑαυτοὺς κατέβλαψαν.

(*II*) in V hodie multa corrosa. Br N propriam exhibent formam = Ch. 352d

---

(*II*) — VPLMo, Br (*III δ*) — ME, N — ad Augustanam propius accedentes

---

4 *ἔτι αὐτοῦ ταύτης* A *ἀδύν. γενέσθαι ἐπέμενε δυσωποῦσα ἆραι πρὸς τὸ διδάξαι αὐτήν* *I* (a) || 5 *μ. ἀναβὰς* A | *ἀφῆκεν αὐτὴν* (*αὐτῆς* C) C F *ἐπί τινας* Cas an fuit *ἀφῆκεν αὐτήν, ὅθεν κατενεχθεῖσα ἐπί τινας πέτρας . . .? ὁ δὲ ἐκκακήσας ἦρεν αὐτήν* a || 6 *διερράγη*] Cas *ἀπερράγη* cet. | *τέθνηκεν* A *καὶ ἀπέθανεν* seclusi || 7 *ἐνταῖς* C F Cas Cr | *τῶν φρον. αὐτῶν* Cas *φρονιμωτέρων παρ.* om. C F Cr Ba || 8 *παρακρούσαντες* A | *καταβλάπτονται* Ba *ἔβλαψαν* A || nullum epim. in B

(*II*) 1 *χέλος* vox e scholae usu atque ignorantia nata sicut supra *βούνευρον* 152 cf. praef. X *χέλος ἄρρην*] V L *χίλλος* Mo *ψύλλος* E | *ἄρρεν* M L *ἄρεν* P | *πετᾶσαι* P || 2 *πρός τινα ἀετὸν* V(?) *αὐτῷ* Mo || 3 *τοῦ* om. E | *πετάσαι* (V?) L *πετᾶσθαι* Mo M *πέτεσθαι* P E *χελώνη θεασαμένη ἀετὸν πετόμενον ἐπεθ. καὶ αὐτὴ πετασθῆναι. προσελθοῦσα δὲ τοῦτον παρεκ. ἐφ᾽ ὃν βούλεται μισθὸν* (*ᾧ . . . μισθῷ* Ch.) *διδάξαι αὐτῇ* (*αὐτήν* Ch.) Br N || 4 *ἀφῆκεν αὐτὸν* M *αὐτὴν* Ch. || 5 *τὴν πέτραν* Mo *τὴν γῆν* E *τοῦ δὲ λέγ. τὸ ἀδύνατον* (*λέγ. ἀδ. εἶναι* N) *ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. λαβὼν οὖν αὐτὴν* (*ταύτην* Br) *τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀναγαγοῦσα* (*ἐνάγουσα* N exspectaveris *ἀναγαγὼν*) *ἀφῆκεν. ἡ δὲ κατὰ πετρῶν πεσοῦσα* (*καταπεσοῦσα* om. *πετρῶν* N) *συνετρίβη.* Br N || 6 *ἐν ταῖς φιλ.* om. E | *τῶν χωρικοτέρων ἀνθρώπων παρακούσαντες τῶν φρονιμωτέρων* (*παρακ. τ. φρ.* om. Mo) *καὶ τῶν ἀδυνάτων* (*δυνατῶν* E) *ἐπιχειρήσαντες ἑαυτοὺς ἀπώλεσαν* Mo E *ὅ. π. ἐν ταῖς φιλ. ἑαυτοὺς βλάπτουσιν* Br *ὅ. οἱ τοῖς ἀδυνάτοις ἐπιχειροῦντες κίνδυνον ἑαυτοῖς προξενοῦσιν* N

(*III*) *χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι ταύτην διδάξαι. τοῦ δὲ παραινοῦντος πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. λαβὼν οὖν ταύτην τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν εἶτ' ἀφῆκεν, ἡ δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.*

ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες ἑαυτοὺς ἔβλαψαν.

260. *ΨΥΛΛΑ ΚΑΙ ΑΘΛΗΤΗΣ*

(Halm 424b Ch. 357)

(*I*) *ψύλλα ποτὲ πηδήσασα ἐκάθισεν ἐπὶ πόδα ἀνδρὸς ἀθλητοῦ σοβοῦντος καὶ ἀλομένη ἐνῆκε δῆγμα. ὁ δὲ ἀκροχολήσας ⟨καὶ⟩ εὐτρεπίσας τοὺς ὄνυχας οἷός τε ἦν συνθλάσαι τὴν ψύλλαν. ἡ δ' ὑφ' ὁρμῆς φυσικῆς πήδημα λαβοῦσα* □ *ἀπέδρα τοῦ θανεῖν ἀπαλλαγεῖσα. καὶ ὃς στενάξας εἶπεν· „ὦ Ἡράκλεις, ὅταν πρὸς ψύλλαν οὕτως, πῶς ἐπὶ τοὺς ἀνταγωνιστὰς συνεργὸς ἔσῃ;"*

ὁ λόγος δηλοῖ μὴ δεῖν ἐπὶ τὰ ἐλάχιστα καὶ ἀκίνδυνα ἐπ' εὐθεῖαν τοὺς θεοὺς ἐπικαλεῖν, ἀλλ' ἐπὶ ταῖς μείζοσιν ἀνάγκαις.

(*IIIγ*) (*IIIβ*) (*IIIα*)

260 (*I*) CFCrCas, qui plura ex Vi recepit, EBBa
in Augustana in collectionis fine huius fabulae recensio Accursiana adscripta est. (*I*a)

(*III*) 1.3 *αὐτὴν* edit. recentiores || 4 *καὶ* om. *γ* || 6 *τῶν προτέρων γ*

260 (*I*) 1sq. *ἐπὶ πόδα ... σοβοῦντος* e CFCrCas interdum dedi. *σοβ. ... δῆγμα* omittit Cr qui pergit *ἐκεῖνος δὲ εὐτρ.* | *ἐπὶ ταρσοῦ ποδὸς ἀνθρώπου ἀλήτου νοσοῦντος* E *ἐπὶ τὸν π. ἀνδρὸς ἀθλητοῦ* (vel *Ἀθηναίου*) *νοσοῦντος* a. mendosum esse locum *ταρσοῦ* quod emblematis et *ἀνδρὸς* quod dittographiae suspicionem movet indicant. fuisse crediderim *ἐπὶ πόδα ἀθλητοῦ ἀργοῦντος* || 2 *ἁλομένη*] Bölte *ἀλλόμενος* Ea *ἀλλομένη* cet. || 3 *καὶ* inserui ex a | *ὄν. ὅπως συνθλάσῃ ταύτην* Cas *ὄν. ἢ οἷον φορτὲ ἦν* Ba = *ἐφορμήθη αὐτὴν*? *ὄν. τὴν ψύλλαν συνθλάσαι ἐκινεῖτο* a || 4 *ἐφ' ὁρμῆς* CCas | *φυσικὸν* FCraBBa | *κίνημα* Ba || 5 *καὶ ὁ ἀθλητής* Cr || 6 *ὦ* om. CBBaa | *Ἡρακλῆ* EBBa | post *οὕτως* ⟨*συμμαχῇ*⟩ ins. St. | *πλὴν* (vel *πῶς*) *ἐ. τ. ἀ. συνεργός μοι γενήσῃ* a *πῶς ἐπὶ τοὺς ἀντ. μαχήσομαι* BBa || 9 *ἀνακαλεῖν* E *προσκαλεῖσθαι* a

(*II*) *ψύλλα ποτὲ πηδήσασα ἐκάθισεν ἐπὶ ποδὸς ἀνθρώπου καὶ δῆγμα ἐκέντα τοῦτον. ὁ δὲ ἀκροχολέσας εὐτρεπίσας τοὺς ὄνυχας, ὅπως συνθλάσῃ ταύτην, ἐφ' ὁρμῆς δὲ φυσικῆς ἡ ψύλλα πήδημα λαβοῦσα ἀπέδρα τοῦ θανάτου. ὁ δὲ στενάξας εἶπεν· „ὦ Ἡρακλῆ, διὰ τί ἐπὶ τοὺς κακοὺς ἀνταγωνιστὰς οὐκ εἶ συνεργός;"*

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἐπὶ τὰ ἐλάχιστα καὶ ἀκίνδυνα πράγματα τὸν θεὸν παρακαλεῖν, ἀλλ' ἐπὶ ταῖς μείζοσιν ἀνάγκαις καὶ συμφοραῖς.

ψύλλα καὶ ἀνήρ

(*III*) *ψύλλα ποτὲ πηδήσασα ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. τῆς δὲ ἐκεῖθεν αὖθις ἀφαλομένης στενάξας εἶπεν· „ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;"*

ὁ μῦθος δηλοῖ μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

(*II*) VPLMoCas (*III δ*) MTE versibus compositam iterant hanc fabulam VPMoM (*III δ*) F (*I*) (= Ch. 358)

(*III γ*) (*III β*) (*III α*). accedunt Aug. A (*I*) BrN (*III δ*)

(*II*) **1** *ποτὲ* om. PM | *ἐπὶ πόδα* CasT *παρὰ ποδός* Mo || **2** *ἐκέντρα* PM *καὶ τῷ δήγματι* (*νύγματι* Mo) *ἔνυττε* MoE | *ἀκροχολήσας* ME *ἀκροχολεύσας* T || **3** *συνθλ. τοῦτον* PLM *αὐτόν* Mo | *ὑφ'* T *ἀφορμῆς* MoE || **4** *διέδρα* Mo || **5** *Ἡράκλεις* TCas | *τοὺς* om. PLMT | *ἀγωνιστὰς* Mo || **7** *τὰ* om. VT || **8** *πρ. ἐπ' εὐθὺς* CasN (cf. *I*) *ὅτι ἐπὶ ἐλαχίστῳ καὶ ἀκινδύνῳ πράγματι τὸν θεὸν μὴ παρακαλεῖν* M *ἀλλ' ἐπὶ τῆς μείζων* (*μεῖζον* M) *ἀνάγκης καὶ συμφορᾶς* PM — fuisse videtur *ἐπὶ ταῖς μείζοσιν ἀνάγκαις*. prave in contrarium convertitur haec sententia in Mo *ὅτι δεῖ καὶ ἐπὶ τοῖς ἐλαχίστοις καὶ ἐπικινδύνοις πράγμασι τὸν θεὸν παρακαλεῖν καὶ βοηθὸν ἐκκαλεῖσθαι καὶ οὐχὶ ἐπὶ τοῖς μείζοσι μόνοις καὶ ἀναγκαίοις.*

(*III*) **3** *ἀφελομένης* Aug., P Ber (*β*) DEJK Lucc., Bo[1] Tur[2] (*α*) *ἀφαλλομένης* *γ* *ἐφαλλομένης* G (*β*) *ἀποπηδησάσης* (*IIIδ*) || **6** *ὅτι μὴ δεῖ* Aug. J (*γ*) CGLP Vrat. MoGJ (*β*) *ὅτι οὐ δεῖ* (*IIIδ*) Vi (*γ*) || **7** *οὐκ ἐπί* N

261. *ΨΙΤΤΑΚΟΣ ΚΑΙ ΓΑΛΗ*

(Halm 423 Ch. 356)

ψιττακόν τις ἀγοράσας ἀφῆκεν ἐπὶ τῆς οἰκίας νέμεσθαι. ὁ δὲ τῇ ἡμερότητι χρησάμενος ἀναπηδήσας ἐπὶ τὴν ἑστίαν ἐκάθισε κἀκεῖθεν τερπνὸν ἐκεκράγει. γαλῆ δὲ θεασαμένη ἐπυνθάνετο αὐτοῦ, τίς τέ ἐστι καὶ πόθεν ἦλθεν. ὁ δὲ εἶπεν· „ὁ δεσπότης με νεωστὶ ὠνήσατο.“ „οὐκοῦν, ἰταμώτατε ζῴων,“ ἔφη, „πρόσφατος ὢν τοιαῦτα βοᾷς, ὅτε ἐμοὶ τῇ οἰκογενεῖ οὐκ ἐπιτρέπουσιν οἱ δεσπόται, ἀλλ᾽ ἐάν ποτε τοῦτο πράξω, προσαγανακτοῦντες ἀπελαύνουσί με.“ ὁ δὲ ἀπεκρίνατο λέγων· „οἰκοδέσποινα, ἀλλὰ σύ γε βάδιζε μακράν· οὐχ ὁμοίως γὰρ δυσχεραίνουσιν οἱ δεσπόται ἐπὶ τῇ ἐμῇ φωνῇ ὅσον ἐπὶ τῇ σῇ.“

πρὸς ἄνδρα φιλοψόγον ἑτέροις ἀεὶ αἰτίας προσάπτειν ἐπιχειροῦντα ὁ λόγος εὔκαιρος.

adduntur in codicibus nonnullis fabulae insequentes
I in corpore Augustano

262. *ΔΡΥΟΤΟΜΟΙ ΚΑΙ ΔΡΥΣ*

(Halm 123 Ch. 100)

δρυοτόμοι δρῦν ἔσχιζον· οἱ δὲ ἐξ αὐτῆς σφῆνας ποιήσαντες ἔσχιζον αὐτήν. ἡ δὲ ἔφη· „οὐ τοσοῦτον τὸν κό- (*I*)

---

261 cf. Babr. 135 (*πέρδιξ καὶ γαλῆ*)

---

261 (*I*) ECas (*I* a) versibus inclusam praebet F (= Ch. 356 b)

262 (*I* b) B[2]Ba (Salm.) versibus inclusa exstat in Vi — *πρίσται καὶ πεύκη* Ch. 100 e — dissolverunt hos rursus Br N C

(*III δ*) cf. infra cf. par. 28 (= Ch. 100 e)

---

261 1 *ἐφῆκεν* E ‖ 2 *ἀναπηδήσας ἐπὶ τῆς νεοττιᾶς* a ‖ 3 *μέλος τερπνόν* a ‖ 4 *τε* om. Cas et KR in a ‖ 5 *με ἄρτι* a ‖ 6 *βοᾶν κατατολμᾷς; ἐμοὶ* a ‖ 7 *δεσπόται φθέγγεσθαι* a | *πρᾶξαι τολμήσω* a ‖ 8 *με, καὶ σὺ ἀφόβως τολμᾷς παρρησιάζεσθαι; ὁ δὲ ἀπορηθεὶς εἶπεν* a ‖ 9 *οὐ γὰρ ὁμοίως* Cas ‖ 12 *ὁ μῦθος οὗτος πρὸς . . .* Cas | *πονηροψόφον* E *πονηρόν, ψόγον κατὰ φθόνων αἰτίαν τοῖς πέλας προσάγοντα* a | *ἀναιτίοις* pro *ἀεὶ αἰτίας* E

262 (*I*) 2 post *αὐτὴν* ins. *εὐκόλως* e par. Ch.

ψαντά με πέλεκυν μέμφομαι ὅσον τοὺς ἐξ ἐμοῦ φυέντας σφῆνας.“

ὅτι δεινότερόν ἐστιν ἡ λύπη, ὅταν τις ὑπὸ τῶν συγγενῶν πάθῃ τι ἢ παρὰ τῶν ἀλλοτρίων.

πρίσται καὶ πεύκη

(Halm 123 b Ch. 100)

(*III δ*) *πρίσται κατέσχιζον πεύκην καὶ σφῆνας ἐξ αὐτῆς ἐποίουν κατασχίζοντες αὐτήν. ἡ δὲ ἐθρήνει λέγουσα· „οὐ τοσοῦτον τὴν ἀξίνην μέμφομαι ὅσον τοὺς ἐξ ἐμοῦ σφῆνας.“*

ὁ μῦθος δηλοῖ, ὅτι λυπηρότεραι αἱ τῶν οἰκείων κακώσεις ὑπὲρ τῶν ξένων λίαν.

263. *ΕΛΑΤΗ ΚΑΙ ΒΑΤΟΣ*

(Ch. 102)

ἐλάτη καυχωμένη τῇ βάτῳ ἔλεγεν· „ἐν οὐδενὶ οὐδὲν χρησιμεύεις, ὅτε ἐγὼ ἐν στέγεσι ναοῦ χρησιμεύω καὶ οἴκοις.“ ἡ δὲ βάτος ἔφη· „ὦ ἐλεεινή, εἰ μνησθείης τῶν πελέκεων καὶ πριόνων τῶν κοπτόντων σε, βάτος ἂν εἶχες θελήσειν γενέσθαι, οὐκ ἐλάτη.“

κρεῖσσον πενία ἄφοβος ἢ πλουσιότης μετὰ ἀναγκῶν καὶ ἐπηρειῶν.

264. *ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΛΕΩΝ ΣΥΝΟΔΕΥΟΝΤΕΣ*

(Halm 63 Ch. 59 c)

λέων σὺν ἀνθρώπῳ ὁδεύων ὁμοῦ ἐν ὁδῷ, ὁ δὲ ἄνθρωπος αὐτῷ ἔλακε· „δυνατώτερον ζῷον ὁ ἄνθρωπος παρὰ

---

264 Babr. 194 tetr. I 1 Av. 24 Dos. 15 cf. infra Aphth. 34 cf. infra

---

263 (*I* b) B² Ba (Salm.) cf. par. 48 Kn.

264 (*I* b) B² Ba (Salm.) versibus inclusam habet (*II*) (= Ch. 59 a)

---

5 *ἡ* om. B² ‖ 6 *πάθῃ τι*] Ch. *παθοῦσι* B₂ *πάθος τι* Ba (IIIδ) Br N ‖ 3 *τὸν πριόνα* N ‖ 4 *λυπηρώτερον* Br

263 2 *χρησιμεύει ὅτι* B² | *ναοῦ*] Ba *σου* B² *που* Nev. ‖ 3 *μνησθείης*] Ch. *-σθεὶς* B² *-σθῇς* Ba (*μνησθεῖσα* par.) ‖ 5 *ἔλατος* libri ‖ 6 *κρείσσων* Ch.

264 1 *ὁδεύον* B² *ὥδευον ὁμοῦ. ἐν ὁδῷ δὲ* Kor. ‖ 2 *ἔλακε*] Bölte *ἐλάλει* Ba editores *ἐλάκει* cet.

τὸν λέοντα." ὁ δὲ λέων· „δυνατώτερον ζῷον ὁ λέων." καὶ ὁδευόντων αὐτῶν ἐδείκνυεν ὁ ἄνθρωπος τὰς γεγλυμμένας στήλας, ἃς οἱ ἄνθρωποι ἔγλυφον καὶ ἐποίουν λέοντας ὑποτασσομένους καὶ ὑποκάτω ὄντας ἀνθρώπων καὶ ἔλεγε· „βλέπεις, πῶς εἰσιν οἱ λέοντες;" ὁ δὲ λέων ἔφη· „εἰ ᾔδεσαν λέοντες γλύφειν, πολλοὺς ἀνθρώπους εἶδες ὑποκάτω λεόντων."

ὅτι εἰσί τινες, ἐν οἷς οὐ δύνανται καυχώμενοι μὴ δὲ δυνάμενοι.

265. *ΚΥΩΝ ΚΑΙ ΚΟΧΛΟΣ*

(Halm 223 Ch. 182)

ὠά τις κύων καταπίνειν εἰθισμένος ἰδὼν τινα κόχλον, χάνας τὸ στόμα αὐτοῦ μεγίστῃ συνολκῇ καταπέπωκε τοῦτον οἰηθεὶς ὠὸν εἶναι. βαρυνόμενος δὲ τὰ σπλάγχνα καὶ ὀδυνόμενος ἔλεγε· „δίκαια ἔγωγε πέπονθα, εἴγε πάντα περιφερῆ ὠὰ πεπίστευκα." □

διδάσκει ἡμᾶς ὁ λόγος, ὅτι οἱ ἀδιστάκτως πρᾶγμα προσιόντες λανθάνουσιν ἑαυτοὺς περιπείροντες ἀτοπίαις.

266. *ΑΛΕΚΤΟΡΕΣ ΔΥΟ ΚΑΙ ΑΕΤΟΣ*

(Halm 21 Ch. 20)

ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων ὁ εἷς τὸν ἕτερον κατετροπώσατο. καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον

---

266 Aphth. 12 Synt. 7 cf. infra. epimythium auctor Christianus e Salomonis petivit proverbiis (*III* 34) ut vidit Kor. p. 419

---

265 (*I* b) B Ba (Salm.) **266** (*I* b) Triv. Ald. primus hanc fabulam edidit Aldus, e codice Trivultiano repetivit Ch. originem duxit e par. 7

---

5 *καὶ . . . λέοντας* om. B || **6** *καὶ ὑποκάτω τῶν ἀνθρώπων* Kor. | *ὄντων* B[2] || **8** *ἂν εἶδες* Kor. || **10** *καυχώμενοι*] scr. *καυχῶνται* libri *οἳ . . . καυχῶνται* Kor., qui *μὴ δὲ δυνάμενοι* secludit, *μηδὲν* Huds.

265 **1** *ἠθισμένος* B, Nev. || **2** *σὺν ὁλκῇ* B, quod tuetur Char. || **4** *πάντα τὰ* Halm || **6** *ἀδιστάκτως*] Char. *ἀδεκάστως* libri *ἀδικάστως* Kor. || **7** *ἀτοπίαις*] Ba *ἀτοπίσι* B *ἀτόποις* Kor.

κατάσκιον ἀπιὼν ἐκρύβη· ὁ δὲ νικήσας εἰς ὕψος ἀρθεὶς καὶ ἐφ' ὑψηλοῦ τοίχου στὰς μεγαλοφώνως ἐβόησε. καὶ παρευθὺς ἀετὸς καταπτὰς ἥρπασεν αὐτόν. ὁ δ' ἐν σκότῳ κεκρυμμένος ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινε.

ὁ μῦθος δηλοῖ, ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

267. *ΚΩΝΩΨ ΚΑΙ ΛΕΩΝ*

(Halm 234 Ch. 189)

κώνωψ πρὸς λέοντα ἐλθὼν εἶπεν· ,,οὔτε φοβοῦμαί σε οὔτε δυνατώτερός μου εἶ· εἰ δὲ μή, τίς σοί ἐστιν ἡ δύναμις; ὅτι ξύεις τοῖς ὄνυξι καὶ δάκνεις τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος. εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον.“ καὶ σαλπίσας ὁ κώνωψ ἐνεπήγετο δάκνων τὰ περὶ τὰς ῥῖνας αὐτοῦ ἄτριχα πρόσωπα. ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτόν, ἕως οὗ ἠγανάκτησεν. ὁ δὲ κώνωψ νικήσας τὸν λέοντα καὶ σαλπίσας καὶ ἐπινίκιον ᾄσας ἔπτατο. ἀράχνης δὲ δεσμῷ ἐμπλακείς, ἐσθιόμενος ἀπωδύρετο, ὅτι μεγίστοις πολεμῶν ὑπ' εὐτελοῦς ζῴου, τῆς ἀράχνης, ἀπώλετο.

ὁ μῦθος πρὸς τοὺς καταβάλλοντας μεγάλους καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

---

267 hanc quoque fabulum primus edidit Aldus — nescimus quo codice usus — quem expresserunt Frobenius, Neveletus cet. Trivultianum codicem adhibuit Ch. Achillis Tatii libri secundi cap. 22 huius mythographi fontem fuisse vidit Crusius de B. aet. 225. 1. innuit hanc fabulam Nicolas Choniates annal. 13, 650 Bonn.

---

267 (*I* b) Triv. Ald.

---

267 1 *δὲ . . . οὐ δὲ* Ald. Triv. *οὔτε . . . οὔτε* sicut legitur in Ach. Tatii quoque libris, Kor. *οὐδὲ . . . οὐδὲ* edit. || **2** *τίς*] Kor. *τί σοι* Triv. Ald. Ch. || **8** *ἕως οὗ ἠγανάκτησεν*] Ald. *ἕως ἀγανακτήσας ὁ κώνωψ καὶ νικήσας* Triv. *ἀπηύδησεν. ὁ δὲ κ. νικ.* Ch. || **9** prius *καὶ* om. Ch. || **10** *πῶς μεγίστοις* Triv. || **12** epimythium deest in Triv. | *μέγα* Ald. *μεγάλους* Nev.

in Vind. et Acc. servantur fabulae hae:

268. *ΚΥΩΝ, ΑΛΩΠΗΞ ΚΑΙ ΑΛΕΚΤΩΡ*

(Halm 225 Ch. 181)

κύων καὶ ἀλέκτωρ φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι (*II*) *ἐν τῷ ἅμα ὥδευον. τῆς δὲ νυκτὸς καταλαβούσης ἐν τόπῳ ἀλσώδει ἐλθόντων ὁ μὲν ἀλεκτρυὼν ἐπί τι δένδρον ἀναβὰς ἐν τοῖς κλάδοις ἐκάθισεν. ὁ δὲ κύων κάτωθεν τῆς ῥαγάδος τοῦ δένδρου ἀφύπνωσε. τῆς δὲ νυκτὸς παρελθούσης καὶ αὐγῆς καταλαβούσης ὁ ἀλέκτωρ κατὰ τὸ σύνηθες μεγάλα ἐκεκράγει. ἀλώπηξ δὲ τούτου ἀκούσασα καὶ βουλομένη αὐτὸν καταφαγεῖν ἐλθοῦσα καὶ στᾶσα κάτωθεν τοῦ δένδρου ἐβόα πρὸς αὐτόν· „ἀγαθὸν ὄρνεον εἶ καὶ χρηστὸν τοῖς ἀνθρώποις. κατάβηθι δέ, ὅπως ᾄσωμεν τὰς νυκτερινὰς ᾠδὰς καὶ συνευφρανθῶμεν ἀμφότεροι.“ ὁ δὲ ἀλέκτωρ ὑπολαβὼν ἔφη αὐτῇ: „ἄπελθε, φίλε, κάτωθεν πρὸς τὴν ῥίζαν τοῦ δένδρου καὶ φώνησον τὸν παραμονάριον, ὅπως κρούσῃ τὸ ξύλον.“ ἡ δὲ ἀλώπηξ ἀπελθοῦσα πρὸς τὸ φωνῆσαι αὐτὸν ὁ κύων ἄφνω πηδήσας καὶ τὴν ἀλώπεκα δραξάμενος διεσπάραξεν αὐτήν.*

ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὁπόταν τι κακὸν αὐτοῖς ἐπέλθοι, ῥᾳδίως τοὺς ἐχθροὺς αὐτῶν τὰ ἀντάξια ἀποτίνονται.

---

268 (*II*) **aevi recentioris atque monachorum dictionem in his cognovit Kor. p. 297**

---

268 (*II*) **Cas** (*III δ*) – **Br N W F**

---

268 (II) **1** sq. *κτησάμενοι ὥδευον ἐν. τ. ἅ.* W || **2** *τῆς νυκτὸς ἐλθόντες ἐν τ. ἀ.* W *καὶ ἐν τ. ἀ. ἐλθόντες* Br || **3** *ἐλθόντες δὲ* Br N W | *ἐπί τι δένδρον*] Kor. *ἐπὶ τὸ δ.* Cas *τῷ δένδρῳ* Br N *ἐν δένδρῳ* W—an *δένδρῳ τινὶ ἀναβὰς ἐκάθευδε?* || **5** *ῥαγάδος*] Cas *ῥάγδος* Br *ῥίζης* N om. W *καὶ τῆς ν.* Cas || **7** *μεγάλα* om. Br N | *ἐφώνει* Br N || **8** *καταθοινήσασθαι* Cas *κάτω τοῦ δένδρου εὐφημοῦσα οὕτως* W || **9** *ὅτι ἀγαθὸν ὄρνεον εἶναι* Br *ὦ ἀγ. ὄ. καὶ χρ.* N || **10** *ἀνθρ. καὶ ὅτι κατάβ.* Br || **11** *ἀμφ. καὶ συν. ὁμοῦ* N || **13** *καὶ λάλησον τω παραμοναρίω* W *τὸν προσμονάριον* Br N || **14** *τῆς δὲ ἀλώπεκος ἀπελθούσης τοῦ φωνῆσαι αὐτὸν* Cas || **15** *καὶ ταύτην δρ. διεσπάραξεν* W || **17** *οὕτω* om. N | *τῶν ἀ. οἱ φρ.* Cas || **18** *ἐπέλθῃ* Ch. |

(*III*) *κύων καὶ ἀλεκτρυὼν ἑταιρείαν ποιησάμενοι ὥδευον. ἑσπέρας δὲ καταλαβούσης ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδε ἀναβάς, ὁ δὲ κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος. τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος ἀλώπηξ ἀκούσασα πρὸς αὐτὸν ἔδραμε καὶ στᾶσα κάτωθεν πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου· ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῷον ἔχον ἀσπάσασθαι. τοῦ δὲ εἰπόντος τὸν θυρωρὸν πρότερον διυπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων αἴφνης πηδήσας αὐτὴν διεσπάραξεν.*

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

269. *ΛΕΩΝ ΚΑΙ ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ*

(Halm 225 Ch. 206)

λέων γηράσας ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα πλὴν ἀλώπεκος τἆλλα τῶν ζῴων. ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ καὶ

---

268 (*IIIγ*) FVoLaudJ (Salm.) B² — (*IIIβ*) (*IIIγ*) (*IIIα*) accedunt RA *I*a 269 (*IIIγ*) (*IIIβ*) (*IIIα*)

ῥᾳδίως κτλ.] scripsi Br maxime secutus *τοὺς ἐ. αὐτ. παραγίνονται τὰ ἀντ.* Br *τῶν ἀνθρ. ἐπιτηδείως τοῖς ἀνθρώποις τὰ ἀντ. ἀποδίδουσιν* W *ῥ. πρὸς αὐτὸ ἀντιπαρατάσσονται* Cas *τῶν ἀνθρ. τοὺς πανούργους κατὰ τέχνην αὐτοὺς παγιδεύουσιν* N

268 (*III*) 1 *κύων κ. ἀλέκτωρ πρὸς ἀλλήλους* Salm. *κύων κτησάμενοι κ. ἀλ. φιλίαν γ* ‖ 2 *ἐπὶ δένδρον* RA ‖ 3 *πρὸς τὴν ῥίζαν* RA, Vrat. (*β*) ‖ 4 *τὸ* om. OE(*a*) ‖ 6 *κάτωθεν πρὸς ἑαυτὴν a* praeter DEJ, Br JG Acc. qui *κάτωθεν ἑαυτὸν* habent, *κάτωθεν καὶ αὐτὸν γ*, RA*β* Plan. ‖ 13 *ἰσχυροτέρους ἐχθροὺς β* Plan.

269 1 *παρῆσαν* Kor. ‖ 3 *λαβόμενος ἀδείας γ* ‖ 4 *θεμένης γ* ‖ 6 *ἐν τούτῳ* F(*γ*) | *ἡ* om. *γ* (praeter Laud) *β*

τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο. ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα· „καὶ τίς," ἔφη, „τῶν συνελθόντων τοσοῦτον ὠφέλησέν ⟨σε⟩, ὅσον ἐγὼ πανταχόσε περινοστήσασα καὶ θεραπείαν ὑπέρ σου παρ' ἰατρῶν ζητήσασα καὶ μαθοῦσα;" τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος ἐκείνη φησίν· „εἰ λύκον ζῶντα ἐκδείρας τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ." καὶ τοῦ λύκου [αὐτίκα νεκροῦ] κειμένου ἡ ἀλώπηξ γελῶσα εἶπεν· „οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν ἀλλὰ πρὸς εὐμένειαν."

ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑτέρου μηχανώμενος καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

270. *ΔΑΜΑΛΙΣ ΚΑΙ ΒΟΥΣ*

(Halm 113 Ch. 92)

δάμαλις βοῦν ὁρῶσα ἐργαζόμενον ἐταλάνιζεν ἐπὶ τοῦ κόπου. ἐπειδὴ δὲ ἑορτὴ κατέλαβε, τὸν βοῦν ἀπολύσαντες τὴν δάμαλιν ἐκράτησαν τοῦ σφάξαι. ἰδὼν δὲ ὁ βοῦς ἐμειδίασε καὶ πρὸς αὐτὴν εἶπεν· „ὦ δάμαλις, διὰ τοῦτο ἤργεις, διὰ τὸ ἀρτίως τυθῆναι."

ὁ μῦθος δηλοῖ, ὅτι τῷ ἀργοῦντι κίνδυνος μένει.

---

270 cf. Babr. 37 Av. 36

---

270 (*II*) — VPLBr, Cas — (*III δ*) — MSNWTF — (*III γ*) — versibus inclusa exstat in F (*I*) (= Ch. 92c)

---

7 *τοῦ* om. CPBerol. (*β*) || **10** *σε* omissum in libris post *τις* ins. Halm || **11** *ἰατροῦ α* || **14** *ἀμφιέσῃ, τὰ τῆς θεραπείας τεύξῃ* Laud (*γ*). *αὐτίκα νεκροῦ* quod pannum adsiticium recte vocat Heus., inde ab Aldina omiserunt editores plerique. *νεκροῦ γενομένου* Laud || **15** *εἶπεν οὕτως· οὐ* Ch. || **16** *κινεῖν α* || **17** *καθ' ἑκάστην α* Acc. || **18** *μηχανὴν* pro *πάγην γβ*

270 1 *ἐταλάνισεν* Vi (praeter Cas) NW(*δ*) J*γ* *ἐταλ. αὐτὸν* Cas, *δ* (praeter W) | *τῷ κόπῳ* Cas *γ* || **2** *ἑσπέρα* pro *ἑορτὴ* F(*δ*) | *ἀπολύσας . . . ἐκράτησε* W(*δ*) J B[2] (*γ*) || **4** *καὶ εἶπε πρ. αὐτ. γ* || **5** *διὰ τὸ ἀρτ. σφαγῆναι* BrN, J(*γ*) *σε* addunt V(II) F(*δ*) *ἵνα ἄρτι σφαγῇς* W(*δ*)*γ* *διότι ἔμελλες ἀρτίως τυθῆναι* Cas || **6** *τὸν ἀργοῦντα* ST(*δ*) JM(*γ*)

271. *ΚΟΡΥΔΑΛΟΣ*

(Halm 209 Ch. 170)

κορυδαλὸς εἰς πάγην ἁλοὺς θρηνῶν ἔλεγεν· „οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ· οὐ χρυσὸν ἐνοσφισάμην τινός, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων· κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν."

ὁ μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένους κίνδυνον.

III in Accursiana adduntur

272. *ΟΝΟΣ ΚΑΙ ΙΠΠΟΣ*

(Halm 328 Ch. 269b)

ὄνος ἵππον ἐμακάριζεν ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων καὶ ταῦτα πλεῖστα ταλαιπωρῶν. ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου καὶ ὁ στρατιώτης ἔνοπλος ἀνέβη τὸν ἵππον πανταχόσε τοῦτον ἐλαύνων καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε καὶ ὁ ἵππος πληγεὶς ἔκειτο, ταῦτα ἑωρακὼς ὁ ὄνος τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον καὶ τὸν κίνδυνον ἀναλογιζομένους τὴν πενίαν ἀγαπᾶν.

---

271 Apostol. IX 97
271 (*III γ*) (*III β*) (*III α*) — accedunt B (*I*) BrN (*III δ*) RA (*I* a). — versibus iambicis incluserunt B² (*I*) W (*δ*) FVoLaud (*γ*) (= Ch. 170c) 272 (*III γ*) (*III β*) (*III α*) vers. inclus. praebent (*II*), (*III δ*), F (*I*) (= Ch. 269a)

---

271 2 *οὐ διὰ χρυσόν, οὐ διὰ ἄργυρον, οὐ διὰ ἄλλο* N ‖ **3** *παντίμων* Br ‖ **5** *κέρδους εὐτελοῦς* G(*β*) | *ὑφεστηκότας* RA *ὅτι τοὺς δικέρδους εὐτελεῖς (= διὰ κέρδους εὐτελοῦς) μέγα ἀφισταμένους θάνατον (= μέγαν ὑφ. κίνδ.)* Br aliud epimythium in BW*γ* *ὁ. μ. δ. τοὺς πένητας οἵτινες ἐξερχόμενοι συνάξαι διατροφὰς συλλαμβάνονται παρὰ τῶν* (*τῶν* om. BFVo) *δυναστῶν καὶ κινδυνεύουσι μὴ ἐλεούμενοι ὑπ' αὐτῶν τετυφλωμένων ὄντων καὶ ἀσυνέτων*

272 3 *πολεμεῖν β* Plan. *τοῦ πολέμου* GO(*γ*) ‖ **4** *ἔνοπλον α* Acc., PQLl(*β*) | *τοῦτον* om. Laud(*γ*) Goth. Gorl. Jen.(*β*) ‖ **6** *ταῦτα πάντα γ, β* Plan.

273. *ΑΕΤΟΣ*

(Halm 4 Ch. 7)

(*III*) *ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο λαγωὸν θηρεῦσαι ζητῶν. τοῦτον δέ τις ἔβαλε τοξεύσας καὶ τὸ μὲν βέλος ἐντὸς τοῦ ἀετοῦ εἰσῆλθεν, ἡ δὲ γλυφὴ σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. ὁ δὲ ἰδὼν ἔφη· „καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνῄσκειν.“*

ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν οἰκείων κινδυνεύσῃ.

ita conformata haec in Vat. B^2 et Barb. (I):

(Ch. 7 b)

(*I* b) *ἀετὸς εἰς ὕψος ἐκάθητο θηρεῦσαι λαγωούς. τοῦτον τοξότης ἰδὼν ἔβαλεν εὐστοχήσας. στραφεὶς δὲ ἰδὼν τὴν γλυφίδα τῶν πτερῶν ἐξ αὐτοῦ οὖσαν ἔφη· „οὐ τοσοῦτον τὸν πέμψαντά σε μέμφομαι, ὅσον τῶν ἐξ ἐμοῦ φυέντων πτερῶν.“*

ὅτι τοῦτο κρεῖσσον λύπη καθέστηκεν, ὅταν τις ὑπὸ τῶν ἰδίων συγγενῶν πάθῃ κακόν, ὅσον ⟨ὑπὸ⟩ τῶν ἀλλοτρίων καὶ ξένων.

274. *ΑΙΘΙΟΨ*

(Halm 13 Ch. 11)

Αἰθίοπά τις ὠνήσατο τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος· καὶ παραλαβὼν οἴ-

---

273 e par. 138 — Babr. 185 tetr. I 25 Aphth. 32 cf. infra Aeschyli fragm. 139 N et quae ibi congessit testimonia plurima editor, quibus addidit Crus. anth. Pal. IX 224

274 Aphthonii fab. 6 cf. infra Themistii f. 3 cf. infra p. 135 Synt. 41 cf. infra. *παροιμία ἐξηπλωμένη — Αἰθίοπα σμήχειν* Macar. I 62 Diogen. I 45

---

273 (*III γ*) (*III α*) **274** (*III γ*) (*III β*) (*III α*) accedit B^2 (*I*)

---

273 (*I*) **1** *λαγωοὺς θηρ. σκοπῶν* par. || **2** *ἐντὸς τοῦ ἀετοῦ*] Vo Laud *ἐντὸς ἀετοῦ* cet. in *γ*, *ἐντ. αὐτοῦ ἀ. . . . ἔσω εἰσῆλθεν* par. || **3** *γλυφὴ*] *γ* praeter Laud, *α* *γλυφὶς* Laud, par. || **5** *τοῖς ἐμοῖς* par. | *νῦν ἀποθνῄσκειν* Crus. *ἀποθν.* par. || **6** *ἰδίων* Laud Bo Vo J E (*γ*) Acc. *ὅτι τὸ κέντρον τῆς λύπης δεινότερόν ἐστι, ὅταν τις ἐξ οἰκείων κινδυνεύσῃ* par.

(*I* b) **4** *τὰ φυέντα πτερὰ* Ch. || **6** *πάθῃ*] Weinb. *πάθος* libri *πάθῃ κακὸν ἢ ὑπὸ τῶν* Ch. *ὑπὸ* om. libri

274 **1** *τοιοῦτο* F (*γ*) B^2

καδε πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

ὁ μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις ὡς προῆλθον τὴν ἀρχήν.

275. *ΝΕΒΡΟΣ ΚΑΙ ΕΛΑΦΟΣ*

(Halm 303 Ch. 238b)

νεβρός ποτε πρὸς τὸν ἔλαφον εἶπε· „πάτερ, σὺ καὶ μείζων καὶ ταχύτερος κυνῶν πέφυκας καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν. τί δήποτ' οὖν οὕτω τούτους φοβῇ;" κἀκεῖνος γελῶν εἶπεν· „ἀληθῆ μὲν ταῦτα φῄς, τέκνον. ἓν δ' οἶδα, ὡς ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν οὐκ οἶδ' ὅπως ἐκφέρομαι."

ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσιν.

276. *ΠΟΙΜΗΝ ΚΑΙ ΛΥΚΟΣ*

(Halm 374 Ch. 315)

ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρὼν καὶ ἀνελόμενος σὺν τοῖς κυσὶν ἔτρεφεν. ἐπεὶ δ' ηὐξήθη, εἴποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον καὶ

---

275 e Babr. f. 156 cf. par. 88

---

275 (*III γ*) (*III β*) (*III α*) versibus inclusam exhibent Vi, *δ* et F (*I*) (= Ch. 238) **276** (*III γ*) (*III β*) (*III α*)

---

3 *ῥύματα α* Acc. *β* Plan, qui in commentario opponit *τὰ ῥίμματα. ῥύμματα* edit. | *τοῖς λουτροῖς* DE (*α*) || **4** *μεταβάλλειν β* Plan. B[3] || **5** *τὸ πονεῖν α* Acc.

275 1 *τὴν ἔλαφον γ* | *πῶς* pro *πάτερ γ* || **3** *ὑπερφυῆ γ, β* | *εἰς ἄμυναν γβ* || **5** *ἐπειδὴ γ* || **7** *παραίτησις* C_3 GLP Ber. (*β*)

276 2 *ηὐξήνθη* Gorl. GoO (*γ*) || **4** *μὴ δυναμ. εἴθ' ὅτε γ* et cod. det. (*α*)

διὰ ταῦτα ὑποστρεφόντων ἐκεῖνος ἠκολούθει, μέχρις ἂν τοῦτον καταλαβὼν οἷα δὴ λύκος συμμετάσχῃ τῆς θήρας· εἶτα ὑπέστρεφεν. εἰ δὲ μὴ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρα θύων ἅμα τοῖς κυσὶν ἐθοινεῖτο, ἕως ὁ ποιμὴν στοχασάμενος καὶ συνεὶς τὸ δρώμενον εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

ὁ μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

277. *ΚΥΚΝΟΣ*

(Halm 215 Ch. 174)

ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἕνεκεν. ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. ὁ δὲ κύκνος ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς ᾖδει μέλος θανάτου προοίμιον· καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ μουσικὴ τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

278. *ΓΥΝΗ ΚΑΙ ΑΝΗΡ ΜΕΘΥΣΟΣ*

(Halm 108 Ch. 88)

γυνή τις ἄνδρα μέθυσον εἶχε· τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα τοιόνδε τι σοφίζεται. κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα καὶ νεκροῦ δίκην ἀναισθητοῦντα ἐπ' ὤμων ἄρασα ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα

---

277 (*IIIγ*) (*IIIβ*) (*IIIα*) = Aphthon. 2 cf. infra
278 (*IIIγ*) (*IIIβ*) (*IIIα*) accedit A(mbr.) (*I*a)

---

5 *ταῦτα ἐκείνων ὑποστρεφόντων* Q(*β*) *τ. ἐκ. ὑποστραφέντων* Jen. (*β*)
277 1 *ἀπορῶν* F(*γ*) || 4 *μὲν* om. J(*γ*) | *ἑκάτ. οὐκ ἀφῆκεν ὁ καιρός γ*
278 4 *τὸ* om. Laud (*γ*) CP QMon(*β*)

□ κατέθετο καὶ ἀπῆλθεν. ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου. ἐκείνου δὲ φήσαντος· „τίς ὁ τὴν θύραν κόψας;" ἡ γυνὴ ἀπεκρίνατο· „ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων ἐγὼ πάρειμι." κἀκεῖνος· „μή μοι φαγεῖν ἀλλὰ πιεῖν, ὦ βέλτιστε, μᾶλλον προσένεγκε. λυπεῖς γάρ με βρώσεως ἀλλὰ μὴ πόσεως μνημονεύων." ἡ δὲ τὸ στῆθος πατάξασα „οἴμοι τῇ δυστήνῳ," φησίν, „οὐδὲν γὰρ οὐδὲ σοφισαμένη ὤνησα. σὺ γάρ, ἄνερ, οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους."

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν· ἔστι γάρ, ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.

□ 279. *ΠΑΙΣ, ΠΑΤΗΡ ΚΑΙ ΛΕΩΝ ΓΕΓΡΑΜΜΕΝΟΣ*

(Halm 349 Ch. 296b)

υἱόν τις γέρων δειλὸς μονογενῆ ἔχων γενναῖον κυνηγεῖν ἐφιέμενον εἶδε τοῦτον καθ' ὕπνους ὑπὸ λέοντος ἀναλωθέντα. φοβηθεὶς δέ, μήπως ὁ ὄνειρος ἀληθεύσῃ, οἴκημα κάλλιστον καὶ μετέωρον κατεσκεύασε κἀκεῖσε τὸν υἱὸν εἰσαγαγὼν ἐφύλαττεν. ἐζωγράφησε δὲ ἐν τῷ οἰκήματι πρὸς τέρψιν τοῦ υἱοῦ παντοῖα ζῷα, ἐν οἷς ἦν καὶ λέων. ὁ δὲ ταῦτα μᾶλλον ὁρῶν πλείονα λύπην εἶχε. καὶ δήποτε πλη-

---

279 Babr. 136 par. 135

---

279 (*III δ*) MWT (*III γ*) FfVo = cod. Huds. Hptm. p. 209 Kor. 264 Laud. versibus iuclusam praebent (*II*) (*III δ*) F (*I*) (= Ch. 296c)

---

5 *ἀναφέρειν* pro *ἀνανήφειν* γ || **8** *σῖτα* (*σίτα*) γβ || **10** *πόσεως* (*πόσον* CPG) *ἀλλὰ μὴ βρ.* βA || **12** *οὐδὲν*] Kor. *οὐδὲ* libri — om. γ (excepto J)

279 1 *κυνηγῆσαι* Huds. || **3** *ἀληθεύει* Huds. || **4** *καταγαγὼν* LM || **5** *ἔγραψε* pro *ἐζωγράφησε* Laud || **7** *πέλας* pro *πλησίον* Laud

σίον τοῦ λέοντος στὰς εἶπεν· „ὦ κάκιστον θηρίον, διὰ σὲ καὶ τὸν ψευδῆ ὄνειρον τοῦ ἐμοῦ πατρὸς τῇδε τῇ οἰκίᾳ κατεκλείσθην ὡς ἐν φρουρᾷ· τί σοι ποιήσω;" καὶ εἰπὼν ἐπέβαλε τῷ τοίχῳ τὴν χεῖρα ἐκτυφλῶσαι τὸν λέοντα. σκόλοψ δὲ τῷ δακτύλῳ αὐτοῦ ἐμπαρεὶς ὄγκωμα καὶ φλεγμονὴν μέχρι βουβῶνος εἰργάσατο, πυρετὸς δὲ ἐπιγενόμενος αὐτῷ θᾶττον τοῦ βίου μετέστησεν. ὁ δὲ λέων καὶ οὕτως ἀνῄρηκε τὸν παῖδα μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα σοφίσματι.

ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς δύναται τὸ μέλλον ἐκφυγεῖν.

280. *ΠΟΤΑΜΟΣ ΚΑΙ ΒΥΡΣΑ* □

(Halm 381 Ch. 321)

ποταμὸς δι' αὐτοῦ βύρσαν φερομένην ἰδὼν ἠρώτησε, τίς καλεῖται. ἡ δὲ εἶπε· „ξηρά." ἐπικαχλάσας δὲ τῷ ῥεύματι □ *εἶπεν· „ἄλλο τι ζήτει καλεῖσθαι· ἀπαλὴν γὰρ ἐγὼ ἤδη ταχὺ ποιήσω σε."*

ὁ μῦθος δηλοῖ, ὅτι εὐκόλως τὰ πράγματα εἰς τὴν αὐτὴν ἀποκαθίστανται φύσιν.

---

280 cf. Av. 41

---

280 (*III γ*) FfVo (= cod. Huds. Kor. 341) Laud accedit W (*δ*) = par. B. 124 Kr.

---

9 *ἐνεκλείσθην* W *κατεμβλήθην* FfL *ἢ καθείρχθην* m_2, Huds. || **11** *τείχει* Huds. || **12** *ἐμπαγεὶς* Vo Huds. || **13** *τοῦ βουβῶνος* M || **15** *τὸ τ. π. ὠφελήθην* CW

280 **2** *καλεῖται*] f[2] *καλλεῖσαι* FfVoW *καλεῖ σε* Laud — an fuit *τίνα καλεῖς σε*? | *ἐπικαλάσας* FVo || **3** *ζήτει* om. W || **4** *ποιήσω σοι γ σε* om. W || **6** *ἀποκαθιστῶνται* FfLaud *ἀποκαθιστῶντα* Vo || in his dissentit par.: [1] *βύρσαν βοείαν τίς καλεῖ* [2] *τῆς δὲ εἰπούσης σκληρὰ καλοῦμαι* [3] *ἐγὼ γὰρ ἤδη ἁπαλήν σε ποιήσω* [5] *ὅτι τολμηρὸν ἄνδρα καὶ αὐθάδη πολλάκις εἰς γῆν κατήγαγε συμφορὰ βίου*

281. *ΤΟΞΟΤΗΣ ΚΑΙ ΛΕΩΝ*

(Halm 403 Ch. 338)

ἀνῆλθέ τις εἰς ὄρος τοξικῆς ἔμπειρος κυνηγῆσαι. πάντα δὲ τὰ ζῷα τοῦτον θεασάμενα ἔφυγε, λέων δὲ μόνος προεκαλεῖτο αὐτὸν εἰς μάχην. ὁ δὲ βέλος πέμψας καὶ τὸν λέοντα βαλὼν ἔφη· „δέξαι καὶ ἰδὲ τὸν ἐμὸν ἄγγελον οἷός ἐστιν καὶ τότε κἀγὼ ἐπέρχομαί σοι.“ ὁ δὲ λέων φοβηθεὶς ὥρμησε φεύγειν. ἀλώπεκος δὲ τούτῳ θαρρεῖν καὶ μὴ φεύγειν λεγούσης ὁ λέων ἔφη· „ὦ οὗτος, οὐδαμῶς με πλανήσεις. ὅπου γὰρ τοιοῦτον πικρὸν ἄγγελον ἔχει, ἐὰν αὐτὸς ἐπέλθῃ, οὐκ ἂν ὑποίσω.“

ὁ μῦθος δηλοῖ μηδαμῶς πλησιάζειν τοὺς πόρρωθεν χαλεπὰ πράττοντας.

282. *ΦΑΛΑΚΡΟΣ*

(Halm 410 Ch. 344)

φαλακρός τις ξένας τρίχας τῇ ἑαυτοῦ περιθεὶς κεφαλῇ ἵππευσεν, ἄνεμος δὲ φυσήσας ἀφείλετο ταύτας. γέλως δὲ πλατὺς τοὺς παρεστῶτας εἶχε. κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας· „τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον;“

---

282 cf. par. 141 (= Babr. 188) Av. 10 Mart. II 41, 10 *ἐξ ὄνυχος τὸν λέοντα* Macar. II 95

---

281 (*III γ*) FVoLaud (Salm.) B² accedit K (*III β*)

282 (*III γ*) — FfVoLaudM — accedunt F (*I*) et MW (*δ*)

---

281 1 *τοξότης* K cf. par. || 2 *προσεκαλεῖτο* LaudK cf. par. || 5 *φοβηθεὶς*] Laud *βληθεὶς* rel. || 6 *τοῦτον* K par. || 9 *ἂν* del. Ch. || 10 *πλησιάζειν δεῖ* Laud || in his dissentit par.: ¹ *τοξότης* ² *τοῦτον θεασ.* om. *προσεκαλεῖτο αὐτ. πρὸς μ.* ⁴ *εἶπεν· ἰδὲ τὸν ἐ. ἀ. οἷ. ἐ. καὶ δὴ τότε ἐπ. σοι κἀγώ* ⁵ *βληθεὶς* ⁶ *τοῦτον* ⁷ *ἔφη ὁ λ. οὐδ. με* ⁹ *ἐπέλθῃ μοι, τί ποιήσω;* ¹⁰ *ὅτι ἐξ ἀρχῆς τὰ τέλη δεῖ προσκοπῆσαι καὶ τότε δὴ λοιπὸν ἑαυτοὺς περισῴζειν*

282 1 *τῇ ἑαυτοῦ κορυφῇ περιθεὶς* par. || 2 *ἵππευεν* par. | *φυσίας* M (*δ*) *πνεύσας* Laud | *ἀφείλατο* Ff *ἀφεῖλε* par. | *ταῦτα* Laud || 3 *εἶπεν εὐθὺς* F

ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφορᾷ ἐπελθούσῃ. [ὃ γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει.]

283. *ΚΥΩΝ ΕΣΤΙΩΜΕΝΟΣ*

(Halm 62 Ch. 179c)

ἄνθρωπός τις δεῖπνον ἡτοίμαζεν εἰς τὸ καλέσαι φίλον (*III γ*) *αὐτοῦ οἰκεῖον, ὁ δὲ κύων αὐτοῦ ἄλλον φίλον ἐκάλει λέγων· „ὦ φίλε, δεῦρο. δείπνησον ὧδέ μοι.“ ὁ δὲ προσελθὼν καὶ ἰδὼν τὸν μέγαν ἐκεῖνον δεῖπνον ἵστατο καὶ διελογίζετο· „βαβαί, πόση μοι χαρὰ ἄρτι ἐφάνη. ἐξαπίνης γάρ με αὕτη κατέσχε καὶ εἰς κόρον μέλλω τρυφῆσαι.“ τοῦτο καθ' ἑαυτὸν στρέφων ὁ κύων καὶ σείων τὴν κέρκον ἑώρα πρὸς τὸν φίλον τὸν κεκληκότα ἐπὶ τὸν δεῖπνον. ὁ οὖν μάγειρος ἰδὼν αὐτὸν τὴν κέρκον ὧδε κἀκεῖσε περιστρέφοντα κατασχὼν ἐκ τοῦ σκέλους ἔρριψεν αὐτὸν διὰ τῆς θυρίδος. ὁ δὲ κατιὼν ἀπῄει κράζων. τῶν δὲ κυνῶν προσυπαντώντων καὶ ἐρωτώντων αὐτόν· „πῶς ἐδείπνησας;“ ὑπολαβὼν ἔφη πρὸς αὐτούς· „ἐξ ὧν ἔπιον μεθυσθεὶς ὑπὲρ κόρον οὐδὲ τὴν ὁδὸν εἶδον, ὅθεν ἐξῆλθον.“*

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαρρεῖν τοῖς μηδὲν ἀνύουσιν.

(Ch. 179a)

ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον ἑστιάσων τινὰ τῶν φί- (*III α*) *λων αὐτῷ καὶ οἰκείων, ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει λέγων· „ὦ φίλε, δεῦρο, συνδείπνησόν μοι.“ ὁ δὲ προσελθὼν χαίρων ἵστατο βλέπων τὸν μέγαν δεῖπνον βοῶν ἐν*

---

283 (*III γ*) Ff Laud accedunt W S (*III δ*) B (*I* b) Q (*I* a) (*III α*)

6.7 *συμφοραῖς ἐπελθούσαις αὐτῷ* par. in *ἐπελθούσῃ* des. M (*δ*) in *τοῦτο* F | *παραθύνει* Vo pergitur in par. *γυμνοὶ γὰρ ἤλθομεν οἱ πάντες, γυμνοὶ καὶ ἀπελευσόμεθα* quae e S. Sc. Hiob I 41 petita esse vidit Kor.

283 (*III γ*) 4 *τὸν μέγαν* (*μέγα* W) *δ. ἐκ.* Laud W | *χαίρων ἵστατο* W || 7 an *λέγων* pro *στρέφων*? || 8 *κεκλ. αὐτὸν* W || 13 *ὁδὸν* om. f Q

(*III α*) 2 *αὐτῷ* a Acc. | *κύων* a || 3 *συνδείπνησόν μοι* B Q a

τῇ καρδίᾳ· „βαβαί, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη. τραφήσομαί τε γὰρ καὶ εἰς κόρον δειπνήσω, ὥστε με αὔριον μηδαμῇ γε πεινᾶσαι.“ ταῦτα καθ' ἑαυτὸν λέγοντος τοῦ κυνὸς καὶ ἅμα σείοντος τὴν κέρκον ὡς δὴ εἰς τὸν φίλον θαρροῦντος ὁ μάγειρος, ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη αὐτοῦ ἔρριψεν παραχρῆμα ἔξωθεν τῶν θυρίδων. ὁ δὲ κατιὼν ἀπῄει μεγάλως κράζων. τῶν τις δὲ κυνῶν τῶν καθ' ὁδὸν αὐτῷ συναπαντώντων ἐπηρώτα· „πῶς ἐδείπνησας, φίλος;“ ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη· „ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον οὐδὲ τὴν ὁδὸν αὐτὴν ὅθεν ἐξῆλθον οἶδα.“

ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαρρεῖν τοῖς ἐξ ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

284. *ΑΝΘΡΩΠΟΣ ΚΑΤΑΘΡΑΥΣΑΣ ΑΓΑΛΜΑ*

(Halm 66c Ch. 61b)

(*IIIγ*) *ἄνθρωπός τις ξύλινον θεὸν ἔχων πένης ὢν καθικέτευε τοῦ ἀγαθοποιῆσαι. ὡς οὖν ταῦτ' ἔπραττε καὶ μᾶλλον [πλέον] ἐν πενίᾳ διῆγε, θυμωθεὶς ἐκ τοῦ σκέλους ἄρας αὐτὸν τῷ τοίχῳ προσέκρουσε. τῆς δὲ κεφαλῆς αὐτοῦ παραχρῆμα κλασθείσης ἔρρευσε χρυσὸς ἐξ αὐτῆς, ὅνπερ συναγαγὼν ὁ ἄνθρωπος ἐβόα· „στρεβλὸς τυγχάνεις, ὡς οἶμαι, καὶ ἀγνώμων. τιμῶντά σε γὰρ οὐδὲν ὠφέλησάς με, τυπτήσαντα δὲ πολλοῖς καλοῖς ἠμείψω.“*

ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ὠφελήσεις σεαυτὸν πονηρὸν ἄνδρα τιμῶν, αὐτὸν δὲ τύπτων πλέον ὠφεληθήσῃ.

---

284 (*IIIγδ*) accedunt B² (*I*b) S (= Ch. 61d) W (*IIIδ*)

---

15 *αὐτὴν* om. GJl

284 (*IIIγ*) soluta e fabula dodecasyllaba (Ch. 61a), quam praeter (*II*) etiam codices deteriores in (*IIIα*) praebent. || 2 *τὸ ἀγαθὸν π.* O | *ταῦτ'* = *ταὔθ'* (*τὰ αὐτά*?) *ὡς οὖν αὐτὸν ἐν τούτῳ ἐθεράπευε* S | *πλέον* om. GOB² || 3 *ἐθυμώθη καὶ ἄρας αὐτὸν ἐκ τῶν σκελῶν* (*ἐκ* del. Huds.) *ἔρριψεν αὐτὸν ἐν τῷ ἐδάφει καὶ προσέκρουσε τὴν αὐτοῦ κεφαλὴν τοῖς λίθοις* S || 5 *ἐξ αὐτοῦ* EB² | *ὃν* Gorl. GoOEBo || 6 *κακογνώμων* S || 10 *τυπτήσας* FGLaudB² | *ὠφελήσῃ* B²EBoVi

(Ch. 61 b)

ἄνθρωπός τις ξύλινον ἔχων θεὸν καθικέτευε τοῦ ἀγαθο- (*IIIa*) *ποιῆσαι αὐτόν. ὡς οὖν ταῦτα ἔπραττε καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς ἄρας αὐτὸν τῶν σκελῶν ἔρριψεν εἰς τὸ ἔδαφος. προσκρουσάσης οὖν τῆς κεφαλῆς καὶ αὐτίκα κλασθείσης χρυσὸς ἔρρευσεν ὅτι πλεῖστος, ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα· „στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, καὶ ἀγνώμων. τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας, τυπτήσαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ."*

ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον, τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

285. *ΗΜΙΟΝΟΣ*

(Halm 157 Ch. 129)

ἡμίονός τις ἐκ κριθῆς παχυνθεῖσα ἀνεσκίρτησε καθ' (*II*) *ἑαυτὴν βοῶσα· „πατήρ μού ἐστιν ἵππος ὁ ταχυδρόμος, κἀγὼ δὲ αὐτῷ ὅλη ἀφωμοιώθην." καὶ δὴ ἐν μιᾷ ἀνάγκης ἐπελθούσης ἠναγκάζετο ἡ ἡμίονος τοῦ τρέχειν. ὡς δὲ τοῦ δρόμου πέπαυται, σκυθρωπάζουσα πατρὸς τοῦ ὄνου εὐθὺς ἀνεμνήσθη.*

---

285 *ὄνος ἵππον μιμούμενος* proverbium e fabula ortum Macar. VI 32. dodecasyllabas vix solutas agnosces

---

(*IIIα*) DEJKL — propius ad *γ* accedunt cod. det.

285 (*II*) VPLMoBrCas (*IIIδ*)MS (= Ch. 129b) NWTFE (*IIIγ*) accedit F (*I*)

---

284 (*IIIa*) 2 *αὐτὸν* om. GoGorl.Tu² *τοῦτον* habet l || 4 *παραυτίκα* l || 7 *τυπτήσας* Fe || 10 *ὠφελήσεις* lFGoGorl.

285 1 *παχυνθεὶς* W, *γ* | *καθ' ἑαυτὸν* Br || 2 *βοῶν καὶ λέγων* omissis *καθ' ἑαυτὸν* W, *γ* | *μήτηρ* Mo corr. m¹F(*I*) || 3 *αὐτῇ* Mo corr. m¹ *δὲ πάλιν ταύτῃ* B² *δὲ* om. BrNW, *γ* *ὅλως* VBN*γ* *ὃν ἐγὼ ὅλη δι' ὅλου ἀπεμιμήθην* S *αὐτὸν ἀφ.* M(*δ*)F(*γ*) || 4 *ὁ ἡμίονος* NW, *γ* praeter GO qui haec omittunt et F qui *ἡμέρας τε τοῦ* habet || 5 *ἐπέπαυτο* CasN | *σκυθρωπάσας* PMBrM(O) *-πουσα* T(O) *σκυθρωπὴ οὖσα* F(*I*), om. *γ* | *τοῦ* (om. F) *πατρὸς ὄνου* W, *γ* || 6 *ὑπεμνήσθη* VNT, *γ* *ἐπανεμνήσθη* FP *ὑπανεμνήσθη* *γ*

ὁ μῦθος δηλοῖ, ὅτι, κἂν ὁ χρόνος ἐνέγκῃ τινὰ εἰς δόξαν, τῆς ἑαυτοῦ ἀρχῆς μὴ ἐπιλαθέσθω· ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

(*III*) *ἡμίονος ἐκ κριθῆς παχυνθεὶς ἀνεσκίρτησε βοῶν καὶ λέγων· „πατήρ μού ἐστιν ἵππος ὁ ταχυδρόμος κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην." καί ποτε ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη.*

ὁ μῦθος δηλοῖ, ὅτι, κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινά, τῆς ἑαυτοῦ γε μὴν τύχης μὴ ἐπιλανθανέσθω· ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

286. *ΙΠΠΟΣ ΚΑΙ ΟΝΟΣ*

(Halm 177 Ch. 142)

ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. ὁδευόντων δὲ ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· „ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν." ὁ δὲ οὐκ ἐπείσθη. ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησεν. τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν τὴν τοῦ ὄνου δορὰν θρηνῶν ὁ ἵππος ἐβόα· „οἴμοι τῷ παναθλίῳ. τί μοι συνέβη τῷ τα-

---

286 cf. par. 12

(*IIIα*)
286 (*III δ*) MSW (*III γ*) (*III β*) Vrat. Jen. (*III α*) accedunt RA (*I* a). versibus compositam exhibet (*II*) (= Ch. 142b)

7.8 *κἂν . . . ἐπιλαθέσθω*] scr. interea collata Accursiana *ὅτι δεῖ . . . ἐπιλαθέσθαι* PMoBrN*γ* (praeter GO) *δεῖ* om. VCas, WM(*δ*) GO(*γ*) *φέρῃ γ τὴν ἑαυτοῦ ἀρχὴν μὴ ἐπιλαθ.* F *τὴν . . . ἐπιλαθέτω* BrN *ἐπιλάθοιτο* F *ἐπιλάθ'* T *ἐπιλάθηται γ* ‖ 9 *οὗτος* om. FMoBrN

(*III*) 2 *μήτηρ μού ἐ. ἵπ. ἡ ταχ. κἀγὼ αὐτῇ* Heus. ‖ 3 *καὶ δὴ ἐν μιᾷ ἀνάγκης ἠναγκάζετο τρέχειν* Jen. Gorl. ETur. ‖ 4 . . . *ὡς δὲ τοῦ* Jen. ETur. | *πέπαυται πατρὸς* E | *εὐθέως* Kor. ‖ 5 *ὑπανεμνήσθη* E

286 2 *ἆρον μικρὸν* Laud | *ἀπ' ἐμοῦ ἐκ τοῦ β.* M (*δ*) par. ‖ 4 *ὁ δὲ δεσπότης πάντα ἐπιθεὶς καὶ γ* ‖ 5 *ἐπ. θρηνεῖν τὸν ἵππον καὶ ἐβόα πάντα βαστάζω καὶ αὐτὴν τὴν τοῦ ὄνου δοράν* G(*δ*) *στενάζων καθ' ἑαυτὸν ὁ ἵππος ἔλεγε· τί μοι συν.* M(*γ*)

λαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν ἰδοὺ ἅπαντα βαστάζω καὶ τὸ δέρμα."

ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες ἀμφότεροι σωθήσονται ἐν τῷ βίῳ.

287. *ΣΚΩΛΗΞ ΚΑΙ ΑΛΩΠΗΞ*

(Halm 78b Ch. 69d)

ὁ τῷ πηλῷ κρυπτόμενος σκώληξ εἰς γῆν ἐξελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις· ,,ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός ἐστι ὁ τῶν θεῶν ἰατρός Παιών." ,,καὶ πῶς," εἶπεν ἀλώπηξ, ,,ἄλλους ἰώμενος σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;"

ὁ μῦθος δηλοῖ, ὅτι, ἐὰν μὴ πρόχειρος ᾖ ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

288. *ΚΟΡΑΞ ΝΟΣΩΝ*

(Halm 208 Ch. 169)

κόραξ νοσῶν ἔφη τῇ μητρί· ,,μῆτερ, εὔχου τῷ θεῷ καὶ μὴ θρήνει." ἡ δ' ὑπολαβοῦσα ἔφη· ,,τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;"

ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

---

287 e par. 113 Themist. *περὶ ἀρετῆς* mus. Rhen. XXXII p. 458 (Crus.) Babr. 120 tetr. II 29 Av. 6 — Aphth. 24 cf. infra

288 soluta e Babr. f. 78 cf. par. 63

---

287 (*III γ*) — accedunt SW(*δ*) (*III* a) versibus compositam praebent (*II*), (*III δ*) (GO) F (*I*) (= Ch. 69b) (*βάτρ. κ. ἀλ.*). versus dissolvit Cas = Ch. 69a

288 (*III α*) versibus inclusam praebent (*II*) (= Ch. 169b), (*III δ*), (*III γ*) Jen., JG (*α*) accedit F (*I*)

---

9 *εἰ οἱ μεγ. τοῖς μικρ. συγκοινωνοῦσιν* G(*δ*) *εἰ . . . συγκοινωνοῖεν* S || 10 *οἱ ἀμφ.* Vrat. Jen. (*β.*) *a*

287 1 *πηλῷ συζῶν* par. || 3 *Παίων* *γ* Luc., cod. deter. *a*, Acc. || 4 *ἄλλους ἴασαι* (vel *ἰᾶσαι*) *σαυτὸν δὲ . . . οὐκ ἰᾶσαι* (vel *ἴασαι*) *γ*, cod. det. *a* || 5 *ᾖ*] W, Kor. om. cet. || 6 *ἀργ. τυγχάνει* *γ*

289. *ΣΑΛΠΙΓΚΤΗΣ*

(Halm 386 Ch. 326d)

σαλπιγκτὴς στρατὸν ἐπισυνάγων καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων ἐβόα· „μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῇ καὶ μάτην. οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι.“ οἱ δὲ πρὸς αὐτὸν ἔφασαν· „διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν τοὺς πάντας πρὸς μάχην ἐγείρεις.“

ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

e codice Vat. 777 (F)

290. *ΠΟΛΕΜΙΣΤΗΣ ΚΑΙ ΚΟΡΑΚΕΣ*

(Halm 379 Ch. 47)

ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει. φθεγξαμένων δὲ κοράκων τὰ ὅπλα θεὶς ἡσύχαζεν, εἶτ' ἀναλαβὼν αὖθις ἐξῄει. καὶ φθεγξαμένων πάλιν ὑπέστη, καὶ τέλος εἶπεν· „ὑμεῖς κεκράξεσθε μὲν ὡς δύνασθε μέγιστον· ἐμοῦ δὲ οὐ γεύσεσθε.“

ὁ μῦθος περὶ τῶν σφόδρα δειλῶν.

---

289 Babr. 179 Av. 39

290 petita haec e Plutarchi vita Phocionis c. 9 praeter epimythium satis stupidum. hominem illum, qui stultorum clamores despiciebat, Plutarchus non ridebat

---

289 (*III δ*) — N (= Ch. 326b), S (= Ch. 326c) (*III α*) versibus inclusam hanc fabulam exhibent (*II*) et (*III δ*) praeter N (*III γ*) (= Ch. 326a) **290** (*III δ*) F 13

---

289 1.2 *κρατηθεὶς ἐβόα τοῖς ἐναντίοις* N *ἐβόα τοῖς παροῦσι* a cod. det. (= *II*) || 3 *ἀπέκτονα* DEJLuc. *ἐπεὶ κἀγὼ οὐδένα ἔκτεινα* N | *χαλκοῦ, δι' οὗ αὐλῶ* N || 4 *οὐδ' ἐπίσταμαί τι ἄλλο ἢ χρῆσθαι τῇ σάλπιγγι* S || 6 *τοὺς νέους κράζων πρὸς μ. ἐξήγειρας* N

290 3 *ἐπέστη* Char.

291. *ΟΥΡΑ ΚΑΙ ΜΕΛΗ ΟΦΕΩΣ*

(Halm 344 Ch. 289 b)

δράκοντος ἡ οὐρὰ τῇ κεφαλῇ ἐστασίασεν ἀξιοῦσα ἡγεῖσθαι παρὰ μέρος καὶ μὴ διὰ παντὸς ἀκολουθεῖν ἐκείνῃ. λαβοῦσά τε τὴν ἡγεμονίαν ἑαυτήν τε κακῶς ἀπαλλάττει ἀνοίᾳ πορευομένη καὶ τὴν κεφαλὴν καταξαίνει τυφλοῖς καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἕπεσθαι.

ὁ λόγος δηλοῖ, ὅτι οἱ πρὸς χάριν ἅπαντα πολιτευόμενοι τοιαῦτα πάσχουσιν.

292. *ΛΕΩΝ, ΠΡΟΜΗΘΕΥΣ ΚΑΙ ΕΛΕΦΑΣ*

(Halm 261 Ch. 211)

λέων κατεμέμφετο Προμηθέα πολλάκις, ὅτι μέγαν αὐτὸν ἔπλασεν καὶ καλὸν καὶ τὴν μὲν γένυν ὥπλισε τοῖς ὀδοῦσι, τοὺς δὲ πόδας ἐκράτυνε τοῖς ὄνυξιν ἐποίησέ τε τῶν ἄλλων θηρίων δυνατώτερον· „ὁ δὲ τοιοῦτος", ἔφασκε, „τὸν ἀλεκτρυόνα φοβοῦμαι." καὶ ὁ Προμηθεὺς ἔφη· „τί με μάτην αἰτιᾷ; τὰ γὰρ ἐμὰ πάντα ἔχεις, ὅσα πλάττειν ἐδυνάμην· ἡ δέ σου ψυχὴ πρὸς τοῦτο μόνον μαλακίζεται." ἔκλαιεν οὖν ἑαυτὸν ὁ λέων καὶ τῆς δειλίας κατεμέμφετο καὶ τέλος ἀποθανεῖν ἤθελεν. οὕτω δὲ γνώμης ἔχων ἐλέφαντι περιτυγχάνει καὶ προσαγορεύσας εἱστήκει διαλεγόμενος. καὶ ὁρῶν διαπαντὸς τὰ ὦτα κινοῦντα „τί πάσχεις", ἔφη, „καὶ τί ποτε οὐδὲ

---

291 Babr. 134 par. 116 haec quoque Plutarchus subministravit, cf. v. Ag. 2

292 haec transscripta esse ex Achillis Tatii libri 2 cap. 21 vidit Crusius Babr. 251

---

291 (*I* b) F 39 **292** (*III δ*) F = Fu 357

---

291 1 *ἐξιοῦσα* cod. corr. Kn || 2 *λαβοῦσαν* cod. corr. Kn || 3 *ἀπαλλάττει ... καταξαίνει*] Plut. *ἀπαλλάττειν ... καταξένειν* cod. *ἀπήλλαττε ... κατέξαινε* Ch.

292 3 *ἐποίησε δέ τε* cod. corr. Kor. || 11 *τί δήποτε* sicut apud Ach. Tatium legitur praeter codicem Fu

μικρὸν ἀτρεμεῖ σου τὸ οὖς;" καὶ ὁ ἐλέφας κατὰ τύχην περιπτάντος αὐτῷ κώνωπος· „ὁρᾷς," ἔφη. „τοῦτο τὸ βραχύ, τὸ βομβοῦν; ἣν εἰσδύνῃ μου ⟨τῇ⟩ τῆς ἀκοῆς ὁδῷ, τέθνηκα." καὶ ὁ λέων· „τί οὖν ἔτι ἀποθνήσκειν" ἔφη „με δεῖ τοσοῦτον ὄντα καὶ ἐλέφαντος εὐτυχέστερον, ὅσον κρείττων κώνωπος ὁ ἀλεκτρυών;"

ὁρᾷς, ὅσον ἰσχύος ὁ κώνωψ ἔχει ὡς καὶ ἐλέφαντα φοβεῖν.

293. *ΞΥΛΑ ΚΑΙ ΕΛΑΙΑ*

(Ch. 253)

ξύλα ποτὲ ἐπορεύθη τοῦ χρῖσαι ἐφ' ἑαυτῶν βασιλέα. καὶ εἶπαν τῇ ἐλαίᾳ· „βασίλευσον ἐφ' ἡμῶν." καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· „ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ἐν ἐμοὶ ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων;" καὶ εἶπαν τὰ ξύλα τῇ συκῇ· „δεῦρο, βασίλευσον ἐφ' ἡμῶν." καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· „ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθὸν πορευθῶ τοῦ ἄρχειν τῶν ξύλων;" καὶ εἶπαν τὰ ξύλα πρὸς τὴν ῥάμνον· „δεῦρο, βασίλευσον ἐφ' ἡμῶν." καὶ εἶπεν ἡ ῥάμνος ⟨πρὸς⟩ τὰ ξύλα· „εἰ ἐν ἀληθείᾳ ὑμεῖς χρίετέ με εἰς βασιλέα ἐφ' ὑμῶν, δεῦτε, ὑπόστητε ἐν τῇ σκέπῃ μου· καὶ εἰ μή, ἐξέλθοι πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγοι τὰς κέδρους τοῦ Λιβάνου."

---

293 e Sacra Scriptura — iud. IX. 8 cf. Ioseph. ant. Iud. V 236–38

---

293 (*III δ*) F

---

12 *παραπτάντος* Ach. Tat. || **13** *τὸ βραχὺ βομβοῦν* ed. Fu alterum *τὸ* etiam apud Ach. Tat. legitur || **16** *πόσῳ κρεῖττον* cod. *ὅσον κρείττων* ut apud Ach. Tat. Fu *ὅσῳ* Ch. || **17** ultimum enuntiatum ut epimythium seposuit Halm

293 1 *χρύσαι* cod. *χειροτονῆσαι* Ch., sed cf. vs. 10 || **6** *αὐτοῖς*] Kn. *αὐτῇ* cod. *αὐτὴ* Ch. || **7** *γένημα* cod. || **9** *πρὸς* ins Kn. || **11** *ἐξέλθοι*] Kn. *ἐξέλθῃ* cod.

294. *ΛΥΚΟΣ ΚΑΙ ΚΥΩΝ*

(Halm 278 Ch. 227)

λύκος ἐν κλοιῷ δεδεμένον ὁρῶν μέγιστον κύνα ἤρετο· „δήσας τίς ⟨σ'⟩ ἐξέθρεψε τ⟨οι⟩οῦτον;“ ὁ δὲ ἔφη· „κυνηγός.“ „ἀλλὰ τοῦτο μὴ πάθοι λύκος. ἐμοὶ φίλος γὰρ λιμὸς ἢ κλοιοῦ βάρος.“

οὐ δεῖ ἐν ταῖς συμφοραῖς οὐδὲ γαστρίζεσθαι.

295. *ΟΝΟΣ ΚΑΙ ΚΥΩΝ*

(Halm 332 Ch. 277)

ὄνος καὶ κύων ἐν ταὐτῷ ὡδοιπόρουν. εὑρόντες δὲ ἐπὶ γῆς ἐσφραγισμένον γραμμάτιον ὁ ὄνος λαβὼν καὶ ἀναρρήξας τὴν σφραγῖδα καὶ ἀναπτύξας διεξῄει εἰς ἐπήκοον τοῦ κυνός. περὶ βοσκημάτων δὲ ἐτύγχανε τὰ γράμματα, χόρτου τε, φημί, καὶ κριθῆς καὶ ἀχύρου. ἀηδῶς οὖν ὁ κύων τοῦ ὄνου ταῦτα διεξιόντος διέκειτο· ἔνθεν δὴ καὶ ἔφησε τῷ ὄνῳ· „ὑπόβαθι, φίλτατε, μικρόν, μή τι καὶ περὶ κρεῶν καὶ ὀστέων εὕρῃς διαλαμβάνων.“ ὁ δὲ ὄνος ἅπαν τὸ γραμμάτιον διεξελθὼν καὶ μηδὲν εὑρηκὼς ὧν ὁ κύων ἐζήτει, ἀντέφησεν αὖθις ὁ κύων· „βάλε κατὰ γῆς ὡς ἀδόκιμον πάντῃ, φίλε, τυγχάνον.“

---

294 Babr. 100 tetr. I 3 Phaedr. III 7 Rom. LXV 295 Crus. Babr. 252

---

294 (*III δ*) F primus hanc fabellam edidit — sed neglegenter — Furia (361) soluta e tetrasticho I 3. versus choliambos subesse suspicatur Kor. (p. 268) versibus iambicis conscriptam putat C. Fr. Müller, Byz. Ztschr. I 432

295 (*III δ*) F = Fu 310 versus subesse primus sensit Kor., qui Byzantinae aetatis esse huius fabulae argumentum recte monuit

---

294 2 *τίς ἐξέθρευσε* cod. | *σ'* inseruit Halm ‖ 3 *λύκος ἐμὴ φίλος· λιμὸς γὰρ ἢ* (*ἡ* Fu) cod. ‖ 4 *κλοίου βάρους* (*βαρύτης* Fu) cod. post *λύκος* interpungendum esse, *βάρος* retinendum esse puto ita interpretatus: exoptatior (*φίλος* = *μᾶλλον φίλος*) mihi est fames quam vinculi pondus ‖ 5 *οὐ δὴ* cod. *ὁ λόγος δηλοῖ τὸ ἐν* edid. Fu *μὴ δεῖν* Kor.

295 5 *ὁ οὖν κ.* cod. ‖ 6 *ἔνθεν τι* cod. corr. Halm ‖ 7 *ὑπόβα τι* Char. ‖ 8 *ὑπολαμβάνον* Halm

296. *ΤΟΙΧΟΣ ΚΑΙ ΠΑΛΟΣ*

(Halm 402 Ch. 337)

τοῖχος σπαραττόμενος ὑπὸ πάλου βιαίως ἐφώνει· „τί με σπαράττεις μηδὲν ἠδικηκότα;“ καὶ ὅς· „οὐκ ἐγώ,“ φησίν, „αἴτιος τούτου, ἀλλ' ὁ ὄπισθεν σφοδρῶς με τύπτων.“

hoc loco fabulae duo ex (*I* b) addendae sunt, quas in antecedentibus praetermisi, quod in Trivultiano tantum codice servatae sunt, qui me effugerat.

60d. *γέρων καὶ Θάνατος* (cf. I p. 83)

(Ch. 78b)

γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον τὸν Θάνατον ἐπεκαλεῖτο. τοῦ δὲ Θανάτου παρόντος καὶ πυνθανομένου τὴν αἰτίαν, δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων ἔφη· „ἵνα μου τὸν φόρτον ἄρῃς.“

ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, εἰ καὶ δυστυχεῖ καὶ πτωχός ἐστι.

100b. *ἀρνὸς καὶ λύκος* (cf. I p. 126 sq.)

(Ch. 107f)

ἀρνὸς ἐφ' ὑψηλοῦ πύργου ἱστάμενος λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε καὶ θηρίον κακὸν ἀπεκάλει καὶ αἱμοβόρον. ὁ δὲ λύκος στραφεὶς εἶπε πρὸς αὐτόν· „οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ πύργος, ἐν ᾧ ἵστασαι.“

ὁ μῦθος πρὸς τοὺς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων διὰ φόβου ὑψηλοτέρων.

---

296 cf. Babr. iamb. 9 Crus. p. 237

---

296 (*III δ*) F = Fu 377 versus iambicos subesse notaverunt Kor. Kn.

---

296 3 *ἀλώπισθεν* cod. *ἀλλ' ὄπισθεν* ed. Fu corr. Kor.

60d (*I* b) 2 *πολλὴν φότον* cod. || 3 *παρόντος*] Nev. *παριόντος* cod. Ch. || 4 *δειλιάσας*] cod. *μειδιάσας* Nev. || 6 *φιλοζωοῖ* cod. || 7 *πτωχός ἐστι* Nev. Ch. *ἔνι* cod.

100b (*I* b) 1 *πύργου*] Ch. *τόπου ἢ πύργου* cod. *τόπου* Nev. || 2 *ὠμοβόρον* Nev. || 5 *ὑπὸ ἀν.* Nev.

297. *ΧΕΙΜΩΝ ΚΑΙ ΕΑΡ*

(Halm 414 Ch. 347)

χειμὼν ἔσκωψε εἰς τὸ ἔαρ καὶ αὐτὸ ὠνείδισεν, ὅτι εὐθὺς φανέντος ἡσυχίαν ἄγει ἔτι οὐδείς· ἀλλ' ὁ μέν τις ἐπὶ λειμῶνας καὶ ἄλση γίνεται, ὅτῳ ἄρα φίλον δρέπεσθαι ἀνθέων καὶ κρίνων ἢ καὶ ῥόδον τι περιαγαγεῖν τε τοῖς ἑαυτοῦ ὄμμασιν καὶ παραθέσθαι [ἢ] παρὰ τὴν κόμην· ὁ δὲ ἐπιβὰς νεὼς καὶ διαβαίνων πέλαγος, ἣν τύχῃ, παρ' ἄλλους ἤδη ἀνθρώπους ἔρχεται· καὶ ὅτι ἅπαντες ἀνέμων ἢ πολλοῦ ἐξ ὄμβρων ὕδατος ἔχουσι φροντίδα οὐκέτι. „ἐγὼ ⟨δέ⟩", ἔφη, „ἄρχοντι καὶ αὐτοδεσπότῃ ἔοικα, καὶ οὐδὲ εἰς οὐρανόν, ἀλλὰ κάτω που καὶ εἰς τὴν γῆν ἐπιτάττω βλέπειν καὶ δεδιέναι καὶ τρέμειν καὶ ἀγαπητῶς διημερεύειν ἔστιν ὅτε οἴκοι ἠνάγκασα." „τοιγαροῦν", ἔφη τὸ ἔαρ „σοῦ μὲν καὶ ἀπαλλαγεῖεν ἄνθρωποι ἀσμένως· ἐμοῦ δὲ αὐτοῖς καλὸν καὶ αὐτὸ εἶναι δοκεῖ τοὔνομα καὶ νὴ μὰ Δία γε ὀνομάτων κάλλιστον· ὥστε καὶ ἀπόντος μέμνηνται καὶ φανέντος ἐπαγάλλονται."

In codice Laurentiano 57, 30 (= M, III *δ* 26) praeterea fabulae vel fabularum fragmenta servantur haecce.

298. *ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΤΕΤΤΙΞ*

(cf. Halm 65)

ἄνθρωπος πένης ἀκρίδας θηρεύων ἤγρευσε καὶ τὴν εὔλαλον τερετίστριαν τέττιγα καὶ ἤθελε ἀποκτεῖναι, ἡ δὲ πρὸς αὐτὸν

---

298 Synt. 62 cf. infra

---

297 (*III δ*) F = Fu 380 **298** (*III δ*) M petita e vita Aesopi 43 W 283 E et paululum immutata

---

297 1 *χειμῶνα σκῶψαι . . . ὀνειδίσαι* cod., cor. Fu ‖ 5 *ἢ* (sic cod., *ἢ* ed. Fu) delevit Kor. ‖ 6 *ἣν τύχῃ* cod. *ἐν τύχῃ* ediderat Fu, unde *εἰ τύχοι* Kor. *ἂν τύχῃ* Ch. ‖ 8 *δὲ* ins. Kor. ‖ 12 *κἂν ἀπ.* Ch. *καὶ ἀπαλλ.* ⟨*ἂν*⟩ Kor. ‖ 13 *δὲ αὐτοῖς* Fu *τε αὐτ.* cod. ‖ 14 *αὐτὸ τὸ εἶναι* cod., corr. Fu

298 2 *τερετριστίαν* cod.

□ *εἶπεν· „μή με μάτην ἀποκτείνῃς· οὐ στάχυν ἀδικῶ, οὐκ ἀκρεμόνα βλάπτω, συνθέσει δὲ πτερῶν καὶ ποδῶν ἁρμονίᾳ χρηστὰ φθέγγομαι ὁδοιποροῦντας τέρπουσα. φωνῆς δὲ πλέω παρ' ἐμοὶ οὐδὲν εὑρήσεις." καὶ ταῦτα ἀκούσας ἀφῆκεν αὐτήν.*

299. *ΓΥΝΗ ΚΑΙ ΓΕΩΡΓΟΣ*

(Halm 109)

γυνή τις προσφάτως τὸν ἴδιον ἄνδρα ἀπολέσασα καθ' ἡμέραν πρὸς τὸ μνῆμα αὐτοῦ ἔκλαιεν. ἀροτριῶν δέ τις σύνεγγυς ἐπεθύμησε μετ' αὐτῆς συγγενέσθαι. καταλιπὼν οὖν τοὺς βόας καὶ ἐλθὼν ἔκλαιεν μετ' αὐτῆς. ἡ δὲ ἐπύθετο αὐτοῦ· „διὰ τί καὶ αὐτὸς κλαίεις;" ὁ δὲ εἶπε· „καλὴν γυναῖκα κατώρυξα· ὅταν οὖν κλαύσω, τῆς λύπης κουφίζομαι." ἡ δὲ ἔφη· „κἀγὼ τὸ αὐτὸ πάσχω." κἀκεῖνος ἔφη· „εἰ τοίνυν ταῖς αὐταῖς περιεπέσαμεν λύπαις, τί οὐκ ἐπισυγγινόμεθα ἑαυτοῖς; ἐγὼ μὲν ἀγαπήσω σε ὡς ἐκείνην, σὺ δὲ κἀμὲ ὡς τὸν ἄνδρα σου." ταῦτα λέγων ἔπεισε τὴν γυναῖκα καὶ συγγενόμενος ἐνέπαιζεν αὐτῇ. ἐλθὼν δέ τις καὶ λύσας τοὺς

---

299 (*III δ*) MGF (*III γ*) 39, 52 petita e vita Aesopi 62 Perry (= Cr) 53 W 299 E

---

3 *οὐκ ἀκρεμόνα*] W *οὔτα κρέμονας* cod. *οὔτ' ἄλλο τι τῶν ἁπάντων* E || **4** *συνθησῃ* cod. *συνθέσει τῶν πτ. κ. π.* W *κινήσει τῶν ἐν ἐμοὶ ὑμένων* E || **6** *πλεῖον* W

299 **1** *τις* om. M | *προσφάτως* om. FCr | *ἴδιον* om. M | *θάψασα* (*κατορύξασα* Cr) vita || **2** *ἔκλ. καθημένη* MCr *αὐτοῦ συνερχομένη* Cr *ἐθρήνει* WE | *τις ἐπεθ. ἰδὼν* Cr *τις οὐ πόρρω τοῦ μνήματος* E || **4** *ἔκλαιεν προσποιούμενος* Cr *ἔ. παραγενόμενος* W *συνεθρήνει* E || **5** *ὁ δὲ εἶπεν· κἀγὼ οὖν ὑπὲρ γυναικός. ἡ δὲ πάλιν ἐπύθετο αὐτοῦ· τίνος; ὁ δὲ· καὶ αὐτὸς καλὴν ἔθαψα καὶ ὅταν* M cf. W || **8** *ἐπεριεπέσαμεν* F *περιπεπτώκαμεν* E *περιεπέσομεν ταῖς αὐταῖς συμφοραῖς καὶ τύχαις* Cr | *οὐκέτι συγγενώμεθα ἑαυτοῖς* FW *τί* (Perry *ὅτι* cod.) *οὐκ ἐπιγινώσκομεν ἀλλήλους* Cr *τί δήποτε ἀλλήλοις μὴ σύνιμεν* E || **9** *σὺ δὲ ἐμὲ ἀγάπησον ὡς ἄνδρα* Cr || **10.11** *ἔλυσε τὴν γ.* M *ἔπειθεν* Cr | *καὶ συγγ. ἐνέπαιζεν αὐτῇ*] scr. *καὶ συγγ. ἀνέπηξεν αὐτὴν* W *κ. συγγ. ἐνέπαιζεν αὐτὴν* M *καὶ δὴ συνῆλθον* E deest hoc enuntiatum in FCr *ἐν ὅσῳ δὲ συνεγένετο αὐτῇ ἔλυσέν τις* Cr *ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν* E

βόας ἀπήλασεν. ὁ δὲ ἐλθὼν καὶ μὴ εὑρὼν τοὺς βόας ἤρξατο θρηνεῖν καὶ κόπτεσθαι ὀδυρόμενος. ἡ δὲ γυνὴ εὑροῦσα αὐτὸν ὀλοφυρόμενόν φησι· „πάλιν κλαίεις;" ὁ δέ· „ἄρτι ἐν ἀληθείᾳ κλαίω."

300. *ΑΝΗΡ ΜΟΙΧΟΣ ΚΑΙ ΓΥΝΗ*

ἄνθρωπος ἀπερχόμενος πρός τινα γυναῖκα κρυφίως ἐν νυκτὶ ἐμοίχευεν αὐτήν. δεδώκει δὲ αὐτῇ σημεῖον τοῦ νοεῖν αὐτόν, ὅταν ἐλθὼν ἔξωθεν τῆς θύρας ὑλακτήσῃ ὥσπερ μικρὸν κυνάριον, ἀνοίγειν αὐτῷ τὴν θύραν. ἐποίει δὲ τοῦτο καθ' ἑκάστην. ἕτερος δέ τις θεασάμενος αὐτὸν βαδίζοντα καθ' ἑσπέραν παρ' ἐκείνην τὴν ὁδὸν καὶ τὴν πανουργίαν αὐτοῦ νοήσας μιᾷ τῶν νυκτῶν ἠκολούθει αὐτὸν μακρόθεν κρυφίως. ὁ δὲ μοιχὸς μηδὲν ὑποπτεύων ἐλθὼν παρὰ τὴν θύραν ἐποίει κατὰ τὸ σύνηθες. ὁ δὲ ἀκολουθῶν θεασάμενος πάντα ἀνεχώρησε πρὸς τὸν οἶκον αὐτοῦ. τῇ δὲ ἐρχομένῃ νυκτὶ ἀναστὰς αὐτὸς πρῶτος ἀπῆλθε πρὸς τὴν μοιχευσομένην γυναῖκα καὶ ὑλακτήσας ὥσπερ κυνάριον, ἐκείνη θαρροῦσα, ὅτι ὁ μοιχὸς αὐτῆς ἐστιν, ἔσβεσε τὴν λυχνίαν, ἵνα μή τις θεάσηται αὐτόν, καὶ ἤνοιξε τὴν θύραν· ὁ δὲ εἰσελθὼν συνεγένετο αὐτῇ. μετ' ὀλίγον δὲ ἦλθε καὶ ὁ πρῶτος μοιχὸς αὐτῆς καὶ ὑλάκτει ἔξωθεν κατὰ τὸ εἰωθὸς ὥσπερ κυνάριον. ὁ δὲ ἔνδοθεν ἱστάμενος νοήσας τὸν ἔξωθεν ὑλακτοῦντα ὥσπερ κυνάριον αὐτὸς σταθεὶς ἔσωθεν τῆς οἰ-

---

300 (*III δ*) **M primus hanc fabellam edidit A. Eberhard in libello gratulatorio gymnasio regio Halberstadtiensi anno MDCCCLXV oblato. secutus est E. Rhode mus. Rhen. XXXI 628ss. (= Kl. Schr. II 193—195), qui hanc fabellam, quam ab Indis in occidentem transmigrasse constat, etiam a Franco-Gallis — cf. cent nouvelles 31 — receptam esse demonstravit**

---

12 *ἀπέλυσεν* M | *καὶ μηδὲν εὑρὼν ἤρξατο θρηνεῖν καὶ κόπτεσθαι ὀδυρόμενος* W *μὴ εὑρὼν αὐτοῦ τοὺς βόας ἐκ ψυχῆς ὀδυρόμενος ἀνέκραγεν* Cr || **15** *ἐπ' ἀληθείας* E *ἐν ἀληθείᾳ τῷ ὄντι* M *ἄρτι ἐν ἀκριβείᾳ τῷ ὄντι πενθῶ* W *ὁ δὲ ἀρωτήρ· ὦ γύναι, ἄρτι ἔχω κόψασθαι* Cr

300 3 *θηρὸς* **cod. || 4. 9** *θήρα* **cod. || 9** *συνῆδες* **cod. || 11** *μοιχευομένην* **ed. Rohde || 18 an** *ἔνδοθεν*?

κίας ὑλάκτει ἰσχυρᾷ τῇ φωνῇ ὡς μεγαλώτατος κύων. ὁ δὲ ἔξωθεν νοήσας, ὡς μείζων αὐτοῦ ὑπάρχει ὁ ἔνδοθεν, ἀνεχώρησεν.

301. *ΚΛΕΠΤΗΣ ΚΑΙ ΠΑΝΔΟΧΕΥΣ*

(Fu 423 Halm 196)

κλέπτης κατέλυσεν ἔν τινι πανδοχείῳ. διέμενεν δέ ἐκεῖ ἡμέρας τινὰς προσδοκῶν κλέψαι τι. ὡς δὲ οὐκ ἠδύνατο τοῦτο ποιῆσαι, μιᾷ τῶν ἡμερῶν ἰδὼν τὸν πανδοχέα ἐνδυθέντα χιτῶνα ὡραῖον καὶ καινὸν — ἦν γὰρ ἑορτή — καὶ καθεζόμενον πρὸ τῆς πύλης τοῦ πανδοχείου καὶ οὐδένα ἄλλον τυχόντα ἐκεῖ, ἐπελθὼν καὶ ὁ κλέπτης ἐκάθισεν πλησίον τοῦ πανδοχέως καὶ ἤρξατο διηγεῖσθαι μετ' αὐτοῦ. καὶ διηγούμενοι ὥραν ἱκανὴν ἐχασμήσατο ὁ κλέπτης καὶ ὁμοῦ μετὰ τὸ χασμᾶσθαι ὠρυᾶτο ὥσπερ λύκος. ὁ δὲ πανδοχεύς φησι πρὸς αὐτόν· ,,τί οὕτως ποιεῖς;" καὶ ὁ κλέπτης ἀπεκρίθη· ,,νῦν ἀναγγελῶ σοι· ἀλλὰ δέομαί σου, ἵνα φυλάξῃς τὰ ἱμάτιά μου· ἐνταῦθα γὰρ καταλείψω. ἐγώ, κύριέ μου, οὐκ οἶδα, πόθεν μοι ἐπέρχεται τὸ χασμᾶσθαι οὕτως, ἢ διὰ τὰς ἁμαρτίας μου ἢ διὰ ποίαν αἰτίαν, οὐ γινώσκω —, ὅταν οὖν χασμηθῶ τρεῖς βολάς, γίνομαι λύκος ἐσθίων ἀνθρώπους." καὶ ταῦτα εἰπὼν ἐχασμήσατο ἐκ δευτέρου καὶ πάλιν ὠρυᾶτο καθάπερ καὶ τὸ πρῶτον. ἀκούσας οὖν ταῦτα ὁ πανδοχεὺς καὶ πιστεύσας τοῦ κλέπτου ἐφοβήθη καὶ ἀναστὰς ἠβούλετο φυγεῖν. ὁ δὲ κλέπτης δραξάμενος αὐτὸν τοῦ χιτῶνος παρεκάλει αὐτὸν λέγων· ,,ἀνάμεινον, κύριέ μου, καὶ λαβὲ τὰ ἱμάτιά μου, ἵνα μὴ ἀπολέσω αὐτά." καὶ παρακαλῶν αὐτὸν ἀνοίξας τὸ στόμα ἤρξατο χασμᾶσθαι ἐκ τρίτου. ὁ δὲ πανδοχεὺς φοβηθείς, μήπως φάγῃ αὐτόν,

---

301 (*III δ*) hanc quoque fabellam, cum literae renascerentur, in Italia vulgatam esse demonstravit E. Rohde l. c.

---

301 8 *ὥρᾳ ἱκανῇ* praeter codicem Fu, Kor. Halm || **9** *ὠρυᾶτο*] Fu *ὀριᾶτο* (idem 17) cod. || **11** *ἀναγγελῶ* Kor. *ἀναγγελό σοι* cod. *ἀναγγέλλω* Fu || **18** *πιστεύσας τοῦ κλέπτου* Fu *π. τῷ κλέπτῃ* Kor.

κατέλιπεν τὸν ἑαυτοῦ χιτῶνα καὶ εἰσελθὼν δρομαίως εἰς τὸ πανδοχεῖον κατησφαλίσατο εἰς τὸ ἐνδότερον. καὶ ὁ κλέπτης λαβὼν τὸν χιτῶνα ἀπῆλθεν.

οὕτω πανθάνουσιν οἱ τὰ μὴ ἀληθῆ πιστεύοντες.

302. *ΜΥΣ ΚΑΙ ΒΑΤΡΑΧΟΣ*

(Halm 298 Ch. 246)

ὅτε ἦν ὁμόφωνα τὰ ζῷα, μῦς βατράχῳ φιλιωθεὶς ἐκάλεσεν αὐτὸν εἰς δεῖπνον καὶ ἀπήγαγεν αὐτὸν εἰς ταμιεῖον πλουσίου, ὅπου ἦν ἄρτος, τυρός, μέλι, ἰσχάδες καὶ ὅσα ἀγαθά, καί φησιν ,,ἔσθιε, βάτραχε, ἐξ ὧν βούλει.'' ὁ δὲ βάτραχος ἔλεγε· ,,ἐλθὼν οὖν καὶ σὺ πρὸς ἐμὲ ἐμπλήσθητι τῶν ἀγαθῶν μου. ἀλλ' ἵνα μὴ ὄκνος σοι γένηται, προσαρτήσω τὸν πόδα σου τῷ ποδί μου.'' δήσας οὖν ὁ βάτραχος τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ ἥλατο εἰς τὴν λίμνην ἕλκων καὶ τὸν μῦν δέσμιον. ὁ δὲ πνιγόμενος ἔλεγεν· ,,ἐγὼ μὲν ὑπό σου νεκρωθήσομαι, ἐκδικήσομαι δὲ ὑπὸ ζῶντος.'' λούππης δὲ θεασάμενος τὸν μῦν πλέοντα καταπτὰς ἥρπασεν. ἐφέλκετο οὖν σὺν αὐτῷ καὶ ὁ βάτραχος καὶ οὕτως ἀμφοτέρους διεσπάραξεν.

ὅτι ἡ τῶν φίλων πονηρὰ συμβουλὴ καὶ ἑαυτοῖς κίνδυνος γίνεται.

303. *ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΝΑΡΙΑ*

(cf. Halm 3 *ἀγροῖκος καὶ ὄν.*)

γεωργός τις γηράσας ἐπ' ἀγρῷ καὶ μηδέποτε εἰς πόλιν εἰσελθὼν παρεκάλει τοὺς ἰδίους θεάσασθαι τὴν πόλιν. οἱ

---

302 (*III δ*) M accedit F (*III δ* 32) 127 e vita Aes. 53 W 300 E

303 (*III δ*) M accedit F e vita Aes. 56 W 303 E

---

24 *δρομήως* cod. *δρομαῖος* Halm || **25** *πανδόχιον* cod.

302 **1** *ὅτε . . . ζῷα* om. F || **2** *αὐτὸν* om. F || **3** *μέλι* om. F || **4** *βάτραχε* om. M || **5** *ἐλθὲ γοῦν* M | *πρός με καὶ πλήσθητι* M || **7** *ὁ βάτραχος* om. F || **9** *καὶ* om. F || **10** *ζώντων* W *μείζονος* E || **11** *λούππης*] F *ἀετὸς* vita *κόραξ* M *μῦα* F || **12** an *οὗτος*? || **13** *ὁ κόραξ* in fine addit M || epimythium nullum in M

303 **1** *τις* om. F *μηδέπω* F

δὲ οἰκεῖοι αὐτοῦ ἔζευξαν ἅμαξαν καὶ ὀνάρια εἰπόντες· „ἔλαυνε μόνον καὶ αὐτά σε ἐνελθόντα καταστήσουσιν εἰς τὴν πόλιν.“ χειμῶνος δὲ γενομένου σκοτοειδοῦς κατὰ τὴν ὁδὸν τὰ ὀνάρια πλανηθέντα εἰσῆλθον εἴς τινα τόπον ἀπόκρημνον. ὁ δὲ τὸν ἴδιον θεασάμενος κίνδυνον ἔφη· „ὦ Ζεῦ, τί σε ἠδίκησα, ὅτι οὕτως ἀπόλλυμαι καὶ ταῦτα οὐχ ὑπὸ ἵππων ἐντίμων οὐδὲ ὑπὸ ἡμιόνων γενναίων ἀλλ' ὑπὸ ὀναρίων ἐλαχίστων;“

[ὅτι κρεῖττον ἀποθανεῖν εὐχρήστως ἢ ζῆν ἀτίμως.]

304. *ΠΑΤΗΡ ΚΑΙ ΘΥΓΑΤΗΡ*

(Kor. 345)

ἀνήρ τις ἐρασθεὶς τῆς ἰδίας θυγατρὸς καὶ εἰς ἔρωτα τρωθεὶς ἀπέστειλεν εἰς ἀγρὸν τὴν γυναῖκα αὐτοῦ, τὴν δὲ □ *θυγατέρα κρατηθεὶς ἐβιάσατο· ἡ δὲ ἔλεγε· „ πάτερ, ἀνόσια πράττεις. ἤθελον μᾶλλον ἑκατὸν ἀνδράσι με παρασχεῖν ἢ σοί.“*

[ὅτι κρεῖττον συγκοινωνεῖν θηρίοις, εἰ ἦν δυνατόν, ἢ γονεῦσι τοῖς θέλουσι ἀποκτεῖναι.]

---

304 (*III δ*) **MF e vita Aes. 35** 8 **Perry (= Cr) 56 W 304 E**

---

4 *αὐτά σε ὄντα ἐν αἰσθήσει καταστ.* **F an** *ἐπ' ἀπήνῃ?* **cf.** *ὀνάρια καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβασάμενοι* **vita** | *ἐν τῇ πόλει* **F** || **5** *ἤδη γεγονότος (= ἐπιγεγ.)* **F** | *σκοτειδοῦς* **M** || **7** *Ζεῦς* **M** || **8** *τί σοι* **M** | *ἀπώλεσα καὶ τὴν ὁδὸν καὶ ἑαυτὸν* **F** || **9** *ἐντίμων ἢ ἐλλογίμων ἀνδρῶν ἀλλ' ὑπὸ κακίστων ἀνθρώπων καὶ ἀχρείων ζώων ἀπόλλυμαι* **F cf. W 56** *οὐχ ὑπὸ ἵππων ἐντίμων οὔτε ἡμιόνων γενναίων ἀλλὰ ὑπὸ ὀναρίων ἐλαχίστων; κἀγὼ δὲ* — **Aesopus scilicet qui Delphis hanc fabellam recitat** — *πάλιν τὰ αὐτὰ δυσφορῶ, ὃς οὐχ ὑπὸ ἐντίμων ἢ ἐλλογίμων ἀνδρῶν ἀλλ' ὑπὸ ἀχρείων καὶ κακίστων δούλων ἀπόλλυμαι* || **epimythium fabulae minime conveniens F confinxit**

304 2 *ἔπεμψε* **FCr** *τὸν* **F** || **3** *καὶ τὴν θ. ἐκράτησεν καὶ ἐβ.* **M.** *ἐκράτησεν καὶ ἐβιάσατο* **F** *μόνην δὲ τὴν θυγατέρα ἀπολαβὼν ἐβιάζετο* **E** | *ἡ δὲ πρὸς τὸν πατέρα αὐτῆς ἔφη* **F** || **4** *ἤθελον . . . με παρ. ἢ σοί*] **Cr** *εἴθη* (*εἴθε* **F**) **pro** *ὤφελον* **FM** *παρασχεῖν μοι ἢ σοί* **FM** *ἤθ. μ. ὑπὸ ἑκατὸν ἀνδρῶν μοιχευθῆναι ἢ ὑπὸ σοῦ τοῦ γεννησαμένου* **E** || **epimythium insulsissimum M debetur**

305. *ΘΥΓΑΤΗΡ ΜΩΡΑ ΚΑΙ ΜΗΤΗΡ*

γυνή τις εἶχε θυγατέρα παρθένον μωράν· πάντοτε οὖν ηὔχετο τῇ θεᾷ νοῦν αὐτῇ χαρίσασθαι. εὐχομένης δὲ αὐτῆς παρρησίᾳ ἡ παρθένος ἤκουσε καὶ τὸν λόγον κατεῖχε. μεθ' ἡμέρας δέ τινας σὺν τῇ μητρὶ εἰς ἀγρὸν ἐξελθοῦσα καὶ τῆς προαυλίου προκύψασα θύρας εἶδεν ὄνον θήλειαν ὑπ' ἀνθρώπου βιαζομένην καὶ προσελθοῦσα τῷ ἀνθρώπῳ εἶπε· „τί ποιεῖς, ἄνθρωπε;" ὁ δέ φησι· „νοῦν αὐτῇ ἐντίθημι." ἀναμνησθεῖσα δὲ ἡ μωρά, ὅτι καθ' ἑκάστην ἡ μήτηρ νοῦν αὐτῇ ηὔχετο, παρεκάλει αὐτὸν λέγουσα· „ἔνθες, ἄνθρωπε, κἀμοὶ νοῦν. καὶ γὰρ ἡ μήτηρ μου πρὸς τοῦτο πολλά σοι εὐχαριστήσει." ὁ δὲ ὑπακούσας κατέλιπεν τὴν ὄνον καὶ διεπαρθένευσε τὴν κόρην φθείρας αὐτήν. ἡ δὲ διεφθαρμένη μετὰ περιχαρείας ἔρχεται πρὸς τὴν μητέρα αὐτῆς λέγουσα· „ἰδού, μῆτερ, κατὰ τὴν εὐχήν σου νοῦν ἔλαβον." ἡ δὲ μήτηρ αὐτῆς φησιν· „εἰσήκουσάν μοι οἱ

---

305 petita haec e vita Aesopi — 68 Perry (= Cr) 56 W accedit papyrus Golenisčew, cf. Perry 63 (= pap.)

---

305 (*III δ*) M 8 (fabula decurtata). accedunt F et P (II 20) in M scriba, cum quales tetigisset sordes, intellegeret, nonnulla mutavit, plura omisit. F quoque haec variavit, P igitur plerumque secutus sum. de versibus 14—16 restituendis egi Glottae t. XXVI 8—9

---

305 **1** *πολλάκις* Cr pap. || **2** *τῇ θεᾷ* om. F | *νοῦν αὐτὴν* P | *αὕτη πᾶσι θεοῖς ηὔχετο* Cr pap. *ἡ δὲ ηὔχετο τὴν θυγατέρα νοῦν ἔχειν* MF *λαβεῖν* Cr | *παριοῦσα* pro *παρρησίᾳ* W || **3** *ἤκουε* M | *καὶ . . . κατέσχε* MF, desunt in Cr pap. || **4** *εἰς τὸν ἑαυτῆς ἀγρὸν ἀπελθ.* F || **5** pro *ὄνον θήλειαν* substituit *γυναῖκα* M || **9** *αὐτὸν*] PF deest in rel. | *ἐπίθες* F | post *νοῦν* addit Cr *ὁ δὲ ἐν τῇ στύφει* (*?τρυφῇ* Perry) *ἠρνεῖτο λέγων· οὐδέν ἐστιν ἀχαριστότερον* (Perry, *ἀχάριστον ἱερὸν* cod.) *γυναικός· ἡ δέ· μὴ λόγον ἔχῃς, κύριε, καὶ ἡ μήτηρ εὐχαριστήσει σοι μισθὸν δοῦσα ὅσον ἂν θέλῃς. εὔχεται γὰρ ἵνα νοῦν ἔχω. ὁ δὲ διεπαρθενεύσατο αὐτήν* || **10.11** *ὑπακ. καὶ καταλιπὼν* (*τὴν ὄνον* F) *διεπαρθένευσεν αὐτήν. ἡ δὲ ἀναβᾶσα* FM || **12** *ἡ δὲ περιχαρὴς πρὸς τὴν μητέρα δραμοῦσα εἶπεν· νοῦν ἔχω, μῆτερ* || **14** *αὐτῆς ἔφη· ἤκουσα ὡς ἀπώλεσας καὶ ὃν πρότερον εἶχες νοῦν* (= 20) cet. omissis M

θεοὶ τῆς εὐχῆς.“ ἡ δὲ μωρὰ ἔφη· „ναί, μῆτερ.“ ἡ δέ φησιν· „καὶ ποίῳ τρόπῳ τοῦτο ἔγνως;“ ἡ δὲ μωρὰ ἔφη· „ἄνθρωπός τις μακρὸν ποῖρον καὶ δύο στρογγύλα νευρώδη ἔθηκεν ἐν τῇ κοιλίᾳ μου ἔσω βαλὼν καὶ ἔξω ἐντρέχων [ἐνέβαλέ μοι] κἀγὼ ἡδέως εἶχον.“ ἡ δὲ μήτηρ ἀκούσασα καὶ ἰδοῦσα ἔφη· „ὦ τέκνον, ἀπώλεσας καὶ ὃν πρῶτον εἶχες νοῦν.“

306. *ΝΑΥΤΗΣ ΚΑΙ ΥΙΟΣ*

λέγεται γὰρ ὡς ναύτης τις εἶχεν υἱόν, ἠβουλήθη δὲ τὴν γραμματικὴν αὐτῷ ἐκπαιδεῦσαι· ὅθεν καὶ ἐν διδασκαλίῳ τοῦτον βαλὼν καὶ χρόνον ἱκανὸν ποιήσας ἐκεῖ τὴν γραμματικὴν εἰς ἄκρον διῆλθεν· εἶτα λέγει τῷ πατρὶ αὐτοῦ ὁ νέος· „πάτερ, ἰδοὺ
□ *τὴν γραμματικὴν πᾶσαν ἐν ἀκριβείᾳ διῆλθον· ἀλλ' οὖν ἐ(θέλω) καὶ τὴν ῥητορικὴν διελθεῖν.“ ἤρεσεν οὖν τῷ πατρὶ (καὶ ἐν διδα)-*
□ *σκαλίῳ πάλιν βαλὼν αὐτὸν ῥήτωρ (τέλειος ἐγένετο· παριουσῶν)*
□ *δὲ τῶν ἡμερῶν ἐν τῇ οἰκίᾳ μετὰ τῆ(ς μρ̄ς αὐτοῦ καὶ τοῦ πρ̄ς)*

---

306 (*III δ*) M 1 (mutilus). cf. supra ad f. 93b et m. Rh. LXXXVII 85—88. monstravi ibi eiusdem argumenti fabellam inter Francisci Sacchetti, scriptoris Florentini saeculi XIV, narratiunculas reperiri: „nov. 123. Vitale da Pietro Santa per introdotto della moglie dice al figliulo, che ha studiato la legge, che taglia uno cappone per grammatica. egli lo taglia in forma, che dalla sua parte infuori, ne tocca agli altri molto poco.“ — huius narrationis ad exemplum lacera haec fragmenta resarcire conatus sum. antecedentem quoque fabulam (301) hic Sacchetti eisdem fere verbis enarravit.

---

15 *τῶν εὐχῶν* Cr pap., deest in W *ἡ δέ· πῶς ἔσχες νοῦν, τέκνον;* Cr. *ἔφησεν· ὁ ταύτην ἐντιθείς μοι ἦν μικρὸν παχύτερον νευρῶδες ἔσω ἔξω ἐντρέχων ἐνέβαλέ μοι κἀγὼ ἐτερπόμην* (an *μοι* ⟨*ὃ εἶχε*⟩ *μικρόν*?) F *ἡ δὲ μωρὰ ἐξηγήσατο· μακρὸν γὰρ πυρὸν νευρῶδες ἔξω ἐάσω* (*ἔσω* Perry) *τρέχον ἔσω μοι ἐνέβαλεν* Cr lacunosa haec in pap. || **17** *ποῖρον*] P *πυρὸν* W *τυρσὸν* Schneider || **18** *ἐνέβαλέ μοι* seclusi || **19** an *καὶ συνεῖσα*? *ἀκούσασα δὲ ἡ μήτηρ ἐξηγουμένης τῆς θυγατρὸς αὐτῆς ἔφη* Cr || epimythium confinxit hoc F *ὅτι τῶν ἀφρόνων οὐδεμία αὐτοῖς βοήθεια γίνεται*, ubi *ὅτι* ⟨*τοιοῦτος ὁ βίος*⟩ *τῶν ἀφρόνων* supplendum videtur

306 **3** *βάλλων* cod., idem 7

συνήσθιον ἀλλήλοις καὶ διη(γεῖται ὁ νέος τῷ πρ̄ι καὶ τῇ μρ̄ι, ὡς) τῆς γραμματικῆς καὶ τῆς (ῥητορικῆς ἐστιν ἔμπειρος· ὁ δὲ πῆρ) λέγει πρὸς τὸν υἱὸν αὐτοῦ· „περὶ τ(ῆς ῥητορικῆς ἀκήκοα, ὅτι κει-) μήλιόν ἐστι πασῶν τῶν τεχνῶν (καθάπερ καὶ ὁ μακάριος) † ἀπτήστος γράφει· (δὸς οὖν καὶ σὺ πεῖράν τινα τῆς τέχνης"). ἀποκριθεὶς δὲ (ὁ νέος ἔφη· „ταύτην διανέμων τὴν ὄρνιν καθ' ἃ) ἡ γραμματικὴ (κελεύει, δείξω ὑμῖν, ὅτι ὄντως ἡ γραμματικὴ) κρείττω(ν ἐστὶ τῶν ἄλλων τεχνῶν." τέμνων δὲ τὴν ὄρνιν ἔφη· „σοί,) πε̄ρ, (τὴν κεφαλὴν δώσω, ὅτι κεφαλὴ εἶ τοῦ οἴκου καὶ πάσ-) ιν (ἡμῖν ἐπιτάττεις. σοὶ δέ, με̄ρ, τοὺς πόδας τούτους προσ- νέμω,) δ(ιότι πᾶσαν τὴν ἡμέραν διατρέχουσα διὰ τοῦ οἴκου πράγ-) ματα (πολλὰ ἔχεις· ἄνευ δὲ τῶν ποδῶν περιγενέσθαι τούτου οὐ) δύνασαι. (τοῦτο δὲ τὸ σῶμα νεκρὸν ἐμοὶ λείπεται, ᾧ οὐδὲν) εὔκολόν (ἐστιν ἐν τῷ βίῳ, ἵνα καὶ ἀπολαύω τι τῆς πολλῆς διδα-) χῆς." (καὶ τοῦτο εἰπὼν καταφαγεῖν ἤρξατο τὴν ὄρνιν. ὁ δὲ πῆρ) (ὀργισθεὶς ἀφήρπασε τὴν ὄρνιν καὶ ἔφη δύο μέρη ποιήσας·) („τὸ μὲν πρῶτον αὐτὸς διανεῖμαι τὴν ὄρνιν ταύτην οὐκ ἤθελον·) ἀλλ' οὖν θέλω, ἵνα φάγω τὸ ἓν ἐγώ, τὸ δὲ ἕτερον ἡ σὴ μῆρ. σὺ δὲ φάγε, ὅπερ πεποίηκας μετὰ τῆς ῥητορικῆς σου."

οὕτω πανθάνουσιν οἱ μετὰ πανουργίας καὶ δολοπλόκων λόγων ἐν τῷ βίῳ πορευόμενοι.

---

13 scriptorem aliquem ecclesiasticum afferri puto. scribendum esse *καθάπερ ὁ ἐπικαλούμενος Ἄπταιστος λέγει* proponit mihi Gugl. Croenert, virum quendam citari ratus, qui definitiones vulgi in usum conscripsit || 17 *πρ* cod. || 21 an *σῶμα ψιλόν*?

307. *ΣΚΥΛΑΞ ΚΑΙ ΒΑΤΡΑΧΟΙ*

(museo Italiano di antichità classica III p. 312)

μῦθος

σκύλαξ ὁδοιπόρου τινὸς ἀκολουθίας ἐκ τοῦ διηνεκῶς ὁδεῦσαι καὶ θερικοῦ καύματος ἀπαυδήσας δειελινὸς παρά τινι λίμνῃ ἐν τῇ δροσερᾷ βοτάνῃ κοιμησόμενος ἀνεκλίνθη. καὶ δὴ καὶ ὑπνώσαντος αὐτοῦ οἱ ἔγγιστα βάτραχοι κατ' αὐτῶν εἰωθὸς ὁμοῦ πάντες ἐκόαξαν. ὁ δὲ διυπνισθεὶς δεινὸν μὲν τοῦτο ἐποίει, οἰόμενος δὲ ὡς, εἰ τῷ πελάγει ἔναγχος προσελθὼν τοῖς βατράχοις ἐφυλακτήσειε, τούτους τε ἀποπαύσει τῆς κραυγῆς καὶ τοὐντεῦθεν ἀνετῶς κοιμήσεσθαι δυνηθείη, ὡς πολλάκις τοῦτο ποιήσας ὠφελήθη μηδέν, μετ' ὀργῆς εἰπὼν ἀνεχώρησε· „ἀλλ' ἔγωγε μωρότερος ἂν ὑμῶν εἴην, εἰ λάλους οὕτω καὶ ἀηδεῖς ὄντας τὴν φύσιν αὐτὸς εἰς τὸ ἀστικὸν καὶ φιλάνθρωπον διορθοῦν ἐπιχειροίην."

ἐπιμύθιον.

ὁ μῦθος ὅτι καὶ οὕτως οἱ ὑβριστικοὶ τῶν ἀνθρώπων, κἂν μυριάκις ἐπιθυμηθῶσιν, οὐ μέντοι τῶν πέλας λόγον ποιοῦνται.

---

307 leguntur haec in folio codici Marc. 690 praefixo scripta manu, ut putat Vitelli, saec. XVI. edidit primus Furia in catalogo bibl. Laur. IV p. 54. repetivit Vitelli l.c.

---

307 15 *ἐπιθυμηθῶσιν* **corruptum,** *νουθετηθῶσιν* **exspectaveris**

---

subscriptiones

οὐχ εὗρον πλείους μύθους Αἰσώπου.	*οὗτοι ἀρκοῦσι μῦθοι πρὸς ἄνδρα φρόνιμον.*
Einsidlensis et Vindobon. 243.	Bodleian. 73 et Bononiensis 2839 (*III γ*)

FABVLAE TABVLIS CERATIS ASSENDELFTIANIS SERVATAE

(ediderunt Hesseling, Journal of hellen. stud. XIII 293, van Leeuwen, Mnemos. XXII 223, cf. Crus. Philol. LIII 228. cf. praef. I p. XX).

1. *ΛΕΩΝ ΓΗΡΑΣΑΣ ΚΑΙ ΑΛΩΠΗΞ*

(Ch. p. 568) 147 d cf. I p. 172

λέων γήρᾳ συσχεθεὶς νοσεῖν προσεποιεῖτο, ὡς διὰ ταύτης τῆς πλάνης τὰ λοιπὰ θηρία [ὡς] εἰς τὴν σύσκεψιν αὐτοῦ ἐρχόμενα κατεδαπάνα. τοιγ(α)ροῦν ἀλώπηξ κατὰ τὴν ἑαυτῆς ἀγχίνοιαν (ἐνό)ησε τὰς ἐνέδρας καὶ οὕτ(ω)ς ἑαυτὴν ἥρμοσεν, ἵνα καὶ τὴν χά(ριν) ἀναπληρώσῃ καὶ (τὸν) κ(ίνδυν)ον ἐκφύγῃ. ἐκτὸς τοῦ σ(πη)λαί(ου) ἑστῶσα ἠσπάσατο (τὸν) λέοντα

(⟨ἀλλ'⟩ οὐ π)ροσήρ(χετο). ἐπ⟨ερω⟩τ(η)θεῖσα (δὲ ὑ)πὸ τοῦ ⟨λέο⟩ντος διὰ (. . τί) μὴ εἰσήρχετ(ο, εἶπε)ν· (τ)ὰ

---

1 cf. infra Dos. 1 p. 120

---

1 tab. cer. 8

---

1 puer ille Palmyrenus, qui tertio fere p. Chr. n. saeculo dictante magistro haec scripsit, haud paucos commisit errores plura omittens, alia perperam addens 1 *καὶ* pro *ὡς* van L. || 2 *θηρια. σειτην* tab. *ὡς εἰ τὴν* Hess. *ὡς εἰς τὴν* van L. *ὡς* delevi || 4 *ἐνόησε* Hess. || 6 post *λέοντα* leguntur in tabula glossae epicae, quibus antea hunc locum impleverat discipulus cf. Crus. l. c. tum iteratur *(ἐ)κτὸς τοῦ σπ(ηλαίου ἑσ)τῶ(σα ἠσπάσα)το* et pergitur *(π)ροσερ . . . επ* || 8 *. . . αιτ. θεισα . . . π . . . . ν̣ο̣ς̣ δια κτλ. ἔπειτ' αἰτηθεῖσα ὑπό τινος* Hess. *ἐπερωτηθεῖσα ὑπὸ τοῦ λέοντος* scr. secundum Dositheum, qui *ἐπερωτηθεῖσα ὑπ' αὐτοῦ* praebet || 9 *προσέρχεται* Hess. *εἰσέρχεται* Crus. sed *εἰσήρχετο* etiam Dos.

ἴχ(ν)η μὲν πάντων τῶν θηρίων εἰσερχομένων ὁρῶ, ἐξερχομένων (δ') οὐχ ὁρῶ."

διδάσκει ἡμᾶς ὁ μῦθος τὰ μέλλοντα προβλέπειν (ὁ)μοίως.

2. *ΛΕΩΝ ΚΑΙ ΜΥΣ*

(Ch. p. 568) 155b cf. I p. 182

μῦς ἐπάνω λέοντο(ς κοιμω)μένου ἐφήλ[λ]ατο (καὶ τὸν ὕ)πνον αὐτοῦ ἐξήγειρεν. ὁ (μὲν λ)έων δραξ(άμε)ν(ος αὐτὸν ἀν)αιρεῖν ἐβούλ(ετο. ἀλλ' ἐ)κεῖνο⟨ς⟩ συγγνώμη(ν τῆς ἁμα)ρτίας ᾐτήσατο καὶ ὑπ(ισχνεῖτο) αὐτ⟨ῷ οὐ⟩κ ἐλάττονα(ς χάριτα)ς ἀνοίσειν [αὐτῷ ὑπισχνεῖτο]. γ(ε)λάσας δὲ (ὁ λέων, ὅτι) οὕτως ἐλ(άχισ)τον ζ(ῷον τῷ λέοντι) χ(άρι)τας ἀποδώσειν (ἐπηγ)γέλ(λ)ετο, ἀπέλυσεν αὐτόν. οὐ πολ(λῷ δὲ) ὕστερον ὑπὸ κυνηγῶν (συλλη)φθεὶς (ὁ λέων εἰς) δεσμὰ ⟨ἐβλήθη⟩. τότε (ὁ) μῦς ἀναμνησ(θεὶς τοῦ ἀποδοῦναι) ἑαυτῷ τὴν (χάριν προὐπήδ)ησε διὰ τῆς νυ(κτὸς καὶ διαλ)υσάμενος τὰ δεσ(μὰ ὀδοῦσι ἔσωσεν) αὐτόν.

---

2 cf. infra Dos. 2 p. 121

---

2 tab. cer. 9

---

12 *ὁμοίως* om. Hess. fortasse hac voce fabula insequens adnectitur

2 1 exspectaveris sane *(ἐκ) τοῦ ὕπνου αὐτὸν . . . τὸν ὕπνον αὐτοῦ ἐξύπνικεν* Dos. || **3** *ἐβού(λετο . . . ἐ)κεῖνος* Hess. *ἐκεῖνος ⟨δὲ⟩* van L. | *συγγνώμην ὑπὲρ τοῦ ζῆν* Dos. || **4** *υπ . . ε . . . . . . αυτου* tab. *ὑπισχνεῖτό ποτ' αὐτοῦ* Hess. | *ελαττονα . . . . . σαν* tab. *ἐλάσσονα χάριν ἀν(οίσειν)* Hess. || **5** *αὐτῷ ὑπ.* del. Hess. | *. ελ . σασ . . . . ον ουτως ελ . . . . τον ζ . . . . χ . . . τας αποδωσειν . . . γε . λετο* in tabula agnoscere mihi videor, quae explevi Dositheum secutus, qui praebet: *ὁ δὲ λέων γελῶν . . ἐπεὶ οὕτω ἐλάχιστον ζῷον λέοντι χάριν κτλ.* alia legit Hess., qui haec intacta reliquit || **9** *ἐβλήθη* inseruit Hess. || **10** *αὐτῷ* Hess., sed ex usu recentiorum haec confunduntur | *προὐπήδησεν* Hess. qui Babr. 103, 17 *λάθρῃ . . προπηδήσας* confert. | *λυσάμενος τὰ δεσμὰ ἔσωσεν αὐτόν* Hess. sed his lacuna non expletur *καὶ ὑποδυσάμενος τὰ δεσμὰ λύσας ἔσ. αὐτ.* van L. || **11** *ὀδοῦσι* inserui cf. Babr. 107, 14 *ὀδοῦσι κείρας*

οὕτω πολλά(κις) ἄν(θρωπ)ός τ(ι)ς βοη⟨θη⟩θῇ ὑπὸ ἡσσό(ν)ω(ν καὶ χάρ)ις ὑπάρχου[σ]α ἔρχ(ηται ἐξ ἀελπίστου) (?).

3. *ΑΝΔΡΟΦΟΝΟΣ*

(Grenfell-Hunt gr. pap. II 84, Babr. ed. Crus. p. 437)
32c cf. I p. 45

υἱὸς τὸν ἴδιον πατέρα φονεύσας καὶ τοὺς
νόμους φοβηθεὶς ἔφυγεν εἰς ἐρημίαν.
καὶ διὰ τῶν ὀρέων παρερχόμενος ἐδιώκετο ὑπὸ λέοντος.
καὶ διωκόμενος ὑπὸ τοῦ λέο(ντος) ἀνῆλθεν εἰς δέν(δρον
καὶ) εὑρὼν δράκοντ(α ἀνερχό)μενος ἐπὶ τὸ δένδρον καὶ ⟨οὐ⟩
δυνάμενος ἀνελθεῖν (διὰ τὸν) δράκοντα (πάλιν κ)ατ(ῆλ)θε...
κ(ακοῦργ)ο(ς οὐδεὶς λ)ανθάνει θεόν.
ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.

---

12 *ἄνθρωπος* molestum | *βοηθῇ* Hess. ⟨*ἂν*⟩ *βοηθη*⟨*θείη*⟩ Char. an *ἀμείνων τις βοηθηθῇ ὑπὸ ἡσσόνων?* || 13 . . . *σσυ* . . . . . *χουσσαυνερχε* legit Hess. . . . *σσυ* . . . *ουσσα ερχε* ego. quae supplevi plane incerta

3 scripsit haec puer Aegyptius quinto p. Chr. n. saeculo, qui fabellam trimetris conscriptam soluta oratione circumscripsit, cf. Crus. l. c. || 1 *εἴδιον πατέραν* pap. || 4 *λέω* . . . pap. *δέν* . . . . | || 5 . . . *ηὑρὼν* pap. *καὶ εὑρὼν δράκοντα ἀνερχόμενος*] Sudhaus mus. Rhen. LVI 309 *μὴ ὁρῶν δράκοντα, ὃς ὁρμώμενος* Crus. | *οὐ* inseruit Grenfell || 6 *διὰ τὸν*] Sudhaus *καὶ τὸν* Crus. | *πάλιν*] Sudhaus *φεύγων* Crus | *κατῆλθε (καὶ ὑπὸ τοῦ λέοντος κατεθοινήθη.)* Crus. sed plura excidisse atque crocodilum quoque partes suas egisse ut in Augustana et Vindobonensi — cf. supra I p. 45. 46 — vero similius || 7 *κακοῦργος οὐδεὶς* Bömer *κακοῦργον οὐδὲν*] Oldfather Aegyptus X 244 *κακός τις ὢν οὐ* Crus. *τὸ γὰρ πανοῦργον οὔποτε* Croenert stud. pal. IV 90 *κακουργία οὐ* Sudhaus | *θεόν ποτε?* Crus. || 8 *ἄγει*] Crus. *ἄει* pap.

FABVLAE DOSITHEI QVI VOCATVR INTERPRETAMENTORVM LIBRO TERTIO INSERTAE

ediderunt e Leidensi Voss. 7 saec. X (= V) Ed. Böcking Bonnae 1832 1 e Parisino lat. 6503 saec. IX (= P) M. A. Boucherie not. et extr. XXIII 2 (1872) p. 501 sequ., Ericus Getzlaff, quaestiones Babrianae et Pseudo-Dositheanae, diss. Marp. 1907 p. 44—45 (praeter fab. 4 et 13). utrumque codicem expressit G. Goetz corp. gloss. Lat. III 40—47, 95—102. cf. praef. I p. XXI

1. *ΕΛΑΦΟΣ*

76c cf. I p. 101

ἔλαφος εὐμεγέθης ὥρᾳ θέρους δίψῃ λειπόμενος παραγίνεται ἐπί τινα πηγὴν διαυγῆ καὶ βαθεῖαν καὶ πιὼν ὅσον ἤθελεν προσεῖχεν τῇ τοῦ σώματος ἰδέᾳ. καὶ μάλιστα μὲν ἐπῄνει τὴν φύσιν τῶν κεράτων ἀνατεταμένων τε εἰς πολὺν ἀέρα καὶ ὡς κόσμος εἴη παντὶ τῷ σώματι. ἔψεγεν δὲ τὴν τῶν σκελῶν λεπτότητα ὡς οὐχ οἵων τε ὄντων φέρειν πᾶν τὸ βάρος. ἐν οἷς δὲ πρὸς τούτοις ἦν, ὑλαχή τε κυνῶν αἰφνιδίως ἀκούεται καὶ κυνηγέται πλησίον. ὁ δὲ πρὸς φυγὴν ὥρμα καὶ μέχρις ὅπου διὰ πεδίου ἐποιεῖτο τὸν δρόμον,

---

1 cf. Rom. LVII

---

1 V 1 P 1

---

1 1 *θηρου χρονου aestivo tempore* P | *λιπομενος* V *λυπούμενος* Bölte | *πιηζη μενος παρηγενητο* P *deficiens* PV || 3 *προσηχειν ηρξατο* P | *ἰδέᾳ*] *ηιδησαν* P *εἰδείᾳ* Bouch. deest in V *figiem* vers. lat. *εὐφυίᾳ* — cf. 15, 16 P — voluit Valckenaer, misc. obs. X p. 121 || 4 *εις ιψος και οτι* P || 6 *φηρηιν παν το* P *εριν το* V *αἴρειν* Valk. *ferre* vers. lat. || 7 *ὕλαχητε* V *υλαγμος* P || 8 *ο μην γαρ προς* P || 9 *μεχρι μη νουν* P *μέχρῖς οὗ* Valk.

ἐσῴζετο ὑπὸ τῆς ὠκύτητος τῶν σκελῶν. ἐπεὶ δὲ εἰς πυκνὴν καὶ δασεῖαν ὕλην ἐνέπεσεν, ἐμπλακέντων αὐτῷ τῶν κεράτων ἑάλω, πείρᾳ μαθών, ὅτι ἄρα ἄδικος ἦν τῶν ἰδίων κριτὴς ψέγων μὲν τὰ σῴζοντα αὐτόν, ἐπαινῶν δὲ ὑφ' ὧν προδέδοται.

2. *ΜΥΣ ΚΑΙ ΛΕΩΝ*

155c cf. I p. 182

μῦς ἐπάνω λέοντος κοιμωμένου ἐφήλατο καὶ τὸν ὕπνον αὐτοῦ ἐξύπνικεν· ὃν ὁ λέων δραξάμενος ἀναιρεῖν ἠβούλετο. ἐκεῖνος δὲ συγγνώμην ᾐτήσατο ὑπὲρ τοῦ ζῆν καὶ οὐκ ἐλάσσονα χάριτα ἐπηγγέλλετο. ὁ δὲ λέων γελῶν καὶ στοχᾱζόμενος, ἐπεὶ οὕτως ἐλάχιστον ζῷον λέοντι χάριτας ἀνταποδώσειν ἐπηγγείλατο, ἀπέλυσεν αὐτόν. μετ' οὐ πολὺ δὲ αὐτὸς ὁ λέων ὑπὸ κυνηγῶν ληφθεὶς καὶ εἰς δεσμὰ βληθεὶς ἔκειτο. τότε ὁ μῦς ἀναμνησθεὶς ἀνταποδοῦναι τῷ λέοντι τὴν χάριν ἠθέλησεν καὶ διὰ νυκτὸς τρώγων τὰ σχοινία ἠλευθέρωσεν τὸν λέοντα.

οὕτω πολλάκις ἐξ ἀνελπίστου βοήθεια ἀπὸ ἡττόνων γίνεται μείζοσιν.

---

2 cf. tab. cer. 2 supra p. 118

---

2 V 2 P 2

---

10 *ὑπὸ τῆς* om. P | *εισπικνων ενηπεσεν* P || **12** *ἑάλω . . . μαθὼν* om. P | *ἄρα* om. P *quod iniustus esset* vers. lat. || **13** *τα φιλαξοντα quae custodiebant* (*eum* P) V P

2 **1** *ηφελλατο ον λησν οργιζομενος ανεριν ηθηλην* P || **3** *υπερ τοι βιου* P || **4** *καριτα επ.* V *καὶ — χάριτα* om. P | *γηλων και στοχασαμηνος ηπηι existimans quod* P *στοχαζομενος λεωντι χαριτας existimans leoni* V an ⟨*ἄφρονα*⟩ *στοχασάμενος*? || **7** *αυτος ο λεων μητολιγον υπο κυνηγετων λημφθεις* P || **8** *πεμφθεις* P *missus* vers. lat. *αναμνησθεις*] P tab. cer. *μνησθεις* V || **9** *διτρωγων* P || **11** *οὕτω πολλάκις*] scr. *οὕτως* Getzl. *ουτω πλεισταкις sic saepius* P deest in V | *υπο μηιξονον a minoribus* P

3. *ΜΥΕΣ ΚΑΙ ΓΑΛΑΙ*

174c cf. I p. 198

μύες ὀργιζόμενοι, ὅτι ὑπὸ γαλῶν ἑαυτοὺς ἀναλίσκεσθαι ἔβλεπον, ὥρισαν μετ' αὐτῶν πυκτεῦσαι. τοιγαροῦν ἐποίησαν ἑαυτοῖς ἡγεμόνας, οὓς πρὸς ἐπίσημον χρυσέοις κέρασιν ἐκόσμησαν, καὶ ἐξαπίνης μάχης συμβληθείσης οἱ μύες ἔφυγον. οἱ ἡγεμόνες οὖν κωλυόμενοι διὰ τὰ κέρατα ἐσφάγησαν. οὕτως, οἷς εἰς τιμὴν δοθεῖσιν ἔχαιρον, ὅτι ἐναντίον ὑπ' αὐτῶν ἔπαθον.

4. *ΔΕΣΠΟΤΗΣ ΚΑΙ ΝΑΥΤΑΙ*

(ed. Crus. Babr. p. 206 ad Vossianum)

308

οἰκοδεσπότης τίς ποτε πλέων εἰς θάλασσαν ἐκοπία ὑπὸ χειμῶνος καὶ οἱ ναῦται ἀσθενέστερον ὑπηρέτουν διὰ τὸν χειμῶνα. οἷς ὁ ἄνθρωπος εἶπεν· ,,ὑμεῖς,'' φησίν, ,,εἰ μὴ τοῦτο τὸ πλοῖον ταχύτερον ἄγετε, λίθοις ὑμᾶς καταβαλῶ.'' τότε εἷς ἐξ αὐτῶν εἶπεν· ,,ὤφελον γὰρ ἐν ἐκείνῳ τῷ τόπῳ ἦμεν, ὅπου λίθοι συλλεγῆναι δύνανται.''

τούτῳ οὖν ὁμοία ἡ ζωὴ ἡμῶν· βαστάζειν ὀφείλομεν τὰς κουφοτέρας ζημίας, ἵνα τὰς βαρυτέρας ἐκφύγωμεν.

---

3 cf. Babr. 31   4 dictum hoc ridiculum unus servavit Dositheus

---

3 V 3 P 7   4 V 4 P 8

---

3 1 *γαλῆνων* P || 2 *πυκτευεσθαι* P || 3 post *ἐπίσημον* in P inseritur *αυτοκρατορος ηξουσιας* — *imperatoriae dignitatis* — *αὐτοκρατορικῆς ἐξ.* Bouch. || 4 *και εξεφνης* P | *οἱ* ante *μύες* om. V | *ηφιγον ηγεμονης δε κολυομηνου* P *εφονηιθησαν* P || 6 *οὕτως οἷς εἰς κτλ.*] Böck. *ουτως εις τιμην τοις sic in honorem datis* VP | *ὅτι ἐναντιον* scil. *ἦν* — *quod contrarium* P deest in V

4 1 *τισποται οικ.* V | *εν θαλασσα* P *ἐν θαλάσσῃ* Bouch. | *εκοπιλατουν* P — *ἐκωπηλ.* Bouch. || 2 *του χειμωνος* P || 4 *αγηται* V *αγοι* P *ἄγοιτε* Bouch. || 5 *ηθελον γαρ* P || 6 *ειημεν* P | *δυνηντο* P *δύναιντο* Bouch. || 7 *ἡ ζωὴ* scr.] *τη ξωην μου* P *ταῦτα τῇ ζωῇ* Bouch. *τοιτω ουν ομοια τασψυχας ημων β.* V

5. *ΑΙΛΟΥΡΟΣ ΚΑΙ ΟΡΝΕΑ*

(ed. Cr. Babr. p. 206)

309

αἴλουρος προσποιούμενος γενέθλια ἄγειν ἐπὶ δεῖπνον ὄρνεα ἐκάλεσεν· ἔπειτα παρατετηρηκὼς εἰσελθόντας ἔκλεισεν τὰς θύρας καὶ καθ' ἕνα ἤρξατο ἐσθίειν.

οὗτος ὁ μῦθος ἥρμοσται εἰς ἐκείνους, οἳ πρὸς ἐλπίδα ἱλαρὰν πορευόμενοι τὰ ἐναντία πάσχουσιν.

6. *ΛΕΩΝ ΓΗΡΑΣΑΣ ΚΑΙ ΑΛΩΠΗΞ*

147 e cf. I p. 172

λέων λιμῷ ἐκλιπὼν νοσεῖν προσεποιεῖτο καὶ διὰ ταύτης τῆς πλάνης τὰ λοιπὰ θηρία ἐπισκεψόμενα εἰσήρχοντο, ἃ ὁ λέων εὐθέως ἐδαπάνα. ἀλώπηξ δὲ ἔξωθεν τοῦ σπηλαίου ἐστάθη καὶ ἠσπάσατο αὐτόν. ἐπερωτηθεῖσα δὲ ὑπ' αὐτοῦ, διὰ τί οὐκ εἰσήρχετο, ἀπεκρίθη· „ἐπειδὴ ὁρῶ εἰσερχομένων ἴχνη, ἐξερχομένων δὲ οὔ.“

οὕτως τινῶν οἱ κίνδυνοι διδαχὴ ἡμῖν εἶναι ὀφείλουσιν τῆς ἡμετέρας σωτηρίας.

---

5 cf. Romul. LXXXV (corvus et aves).

6 cf. tab. cer. 1 supra p. 117

---

5 V 5 P 9 6 V 6 P 11

---

5 1 *αιλουρος* *cattuna* V *σλουροστιρος* *cattus* P || 3 *την θυραν* *hostium* P

6 1 *λεων λειμοιτων* — *λιμώτων* Bouch. — P *fame deficiens* vers. lat. | *νοσιν εαυτον* — *se simulabat* V | *ταυτηνην* (= *ταύτην τὴν*) *πλανην* P || 2 *ἃ*] Getzl. *εισηρχοντο ους* *quos* V *εισηει ας* *quos* P || 3 *ευθεως λεων* P | *ἐδαπάνα*] V *κατεδαπάνα* tab. cer. *ανηρει* P | *δε μονη εκτος του σπελησυ εστη* P || 4 *επερωτηθις* V | *υπο ληοντος* P || 5 *μη εισηλθοι επιδη ορω φησιν* P *ου βληπω* P || 7 *οφιλι* V *ωφηλοισιν* P

7. *ΙΑΤΡΟΣ ΑΤΕΧΝΟΣ*

310

ἀσθενής τις ὑπὸ ἀτέχνου ἰατροῦ ἀπελπισθεὶς ἐσώθη. καὶ συναντήσας αὐτῷ ὁ ἰατρὸς διὰ χρόνου ἐξήταζεν, εἰ αὐτὸς εἴη, ὃν ἀπηλπίκει. ὁ δὲ ἀπεκρίθη τοῦ Χάρωνος χάριν ἀναπεπέμφθαι αὐτὸν ἐξ Ἅιδου. παρεκτὸς δὲ τὸν Χάρωνα ὡρικέναι ἐντὸς ἡμερῶν ὀλίγων πάντας τοὺς ἰατροὺς παρ' ἑαυτὸν ἄγειν, ἵνα αὐτοὺς βασανίσῃ, ἐπειδὴ τῇ τούτων ἀμελείᾳ πολλοὶ ἀπέθνῃσκον. „ἀλλὰ σὺ μὴ φοβηθῇς· ἐγὼ γὰρ εἶπον αὐτῷ σὲ ἰατρὸν μηδέποτε γεγονέναι. πρὸ πάντων γὰρ σὲ ἀποσπάσαι σεσημειώκει."

οὗτος ὁ μῦθος δύναται πρὸς τούτους ἀνήκειν, οἵτινες ἃ οὐκ οἴδασιν ἐπαγγέλλονται.

8. *ΚΟΡΩΝΗ ΔΙΨΩΣΑ*

(= Babr. 200 Crus.)

311

κορώνη διψῶσα προσῆλθεν ἐπὶ ὑδρίαν καὶ ταύτην ἐβιάζετο ἀνατρέψαι. ἀλλ' ὅτι ἰσχυρῶς εἱστήκει, οὐκ ἠδύνατο αὐτὴν καταβάλλειν, ἀλλὰ μεθόδῳ ἐπέτυχεν, ὃ ἠθέλησεν. ἔπεμπε

---

7 cf. Babr. 75 8 cf. Babr. 200 Crus. Av. 27 Rom. LXXXVII Bianor AP IX 272 Plut. soll. an. 10 p. 967 A Plin. nat. hist. X 125. Ael. nat. an. II 48

---

7 V 7 P 12 8 V 8 P 10

---

7 1 *αμαθους* P | *ινηλπισθηις* P *αφελπ.* V *ἀνελπισθεὶς* Getzl. | *εσωθη πυσανο μηνου δη του ιατρου ει* P || 2 *καὶ . . . ἐξήταζεν* omittit P | *ὁ ἰατρὸς*] scr. *τω ϊατρω et obviatus ei medico* V *ὁ ἰατρὸς . . . συναντήσας* Babr. | *αυτος ηιν* || 3 *ανεπεμπεν* V || 4 *χαροντος εστακεναι orcum statuisse* V || 5 *προ σαιτον* P || 6 *βασανισε torqueant* V *αξει οπος αυτους κολαση puniat* P || 7 *απεθνησκοντε* P | *προτα γαρ* V (*πρῶτον* Böck.) || 9 *απαξηιν ηπειλει adducturum minabatur* P adnotaverat V || 10 *οὗτος . . . ἀνήκειν* om. V | *οἵτινες κτλ.*] Bouch. *οιτηεσουκ οιδηνεπαγγελλονται* P *οστισο ουκοιδεν επαγγ.* V

8 lacunosa haec fabula in P, quam ita transscripsit Bouch. || 1 *κορώνη διψῶσα* (*διψαστης* P) *προσῆλθεν* (*προσέαθεν* P) *πρὸς ὑδρίαν καὶ ταύτην ἐβιάζετο ἀναστρέψαι* (*και ταιτην επιεξητονᾶς* P)· *ἀλλὰ μὴ δυναμένη λίθοις αὐτὴν ἐπλήρωσε ὡς τῷ πλήθει ὑπερεχύθη τὸ ὕδωρ. καὶ οὕτως ἡ κορώνη· οὕτως ἀνδρία φρονήσει ὑστερεῖται* (*-σηιστερεπαι* P)

γὰρ ψήφους εἰς τὴν ὑδρίαν καὶ τούτων τὸ πλῆθος ἀπὸ κάτωθεν τὸ ὕδωρ ἄνω ὑπερέχεεν· καὶ οὕτως ἡ κορώνη τὴν ἰδίαν δίψαν κατέπαυσεν.

οὕτως οὖν φρόνησις ἀνδρότητα πλανᾷ.

9. *ΚΟΡΑΞ ΚΑΙ ΑΛΩΠΗΞ*

126c cf. I p. 152

a) κόραξ τυρὸν ἁρπάσας ἐπάνω δένδρου πετασθεὶς ἐκάθισεν. ἰδοῦσα δὲ αὐτὸν ἀλώπηξ προσῆλθεν καὶ ἐπαινεῖν ἤρξατο αὐτοῦ τὴν ἀνδρίαν, ἔψεγεν δὲ ὅτι τοιοῦτο ζῷον φωνὴν οὐκ ἔχει. πλανηθεὶς οὖν ὁ κόραξ ἤνοιξεν τὸ στόμα ⟨καὶ⟩ τὸν τυρὸν πεσόντα ἀλώπηξ ἁρπάσασα κατέφαγεν.

οὕτως οἱ πολλοί, ὅ τι δυνάμει οὐ δύνανται, φρονήσει ἐκπλέκουσιν.

b) κόραξ τυρὸν ἁρπάσας ἐπὶ δένδρον ἐκαθέσθη. τοῦτον ἰδοῦσα ἀλώπηξ ἐπαινεῖν ἤρξατο, ὅτι αὐτὸς μὲν εὔμορφος εἴη καὶ μέγας, ⟨ἓν δὲ ἐπιλείποι⟩· ὅτι φωνὴν μὴ ἔχει. πλανηθεὶς ὁ κόραξ ἔκραξεν καὶ τυρὸν κατέβαλεν, ὃν ἥρπαξεν ἡ ἀλώπηξ ⟨καὶ⟩ κατέφαγεν.

οὕτως πολλοὶ κτλ.

10. *ΠΑΙΣ ΑΚΡΙΔΑΣ ΘΗΡΕΥΩΝ*

215c cf. supra p. 35

παιδίον εἰς ὕλην ἀκρίδας θηρεῦον ἐπεστάθη λίθῳ τινί, εἰς ὃν σκορπίος ἐκρύβετο, ὃν ὁ παῖς ἐβιάζετο ἀντὶ ἀκρίδος

---

9 cf. Rom. XIX **10** cf. Rom. LXXXVIII

9a) V 9 **9b)** P 3 **10a)** V 10 P 4

---

4 *το πανθος* multitudo V

9a) 4 *στομα τινι τον τυρον qui caseum* V ‖ 5 *καὶ* Böck., qui plura excidisse putat ‖ 7 idem epimythium apud Romulum: *sic multi, quid viribus non possent, sapientia explicant*

9b) 1 *ερπασαν* P | *ηπι δενδρον* P | *εκαθεστη* P *ἐπι δένδρον κατέστη* Bouch. ‖ 3 *και μητας* P | *ἓν δὲ ἐπιλείποι* ins. Bouch. *unum autem deesset* v. lat. ‖ 5 *καὶ* ins. Bouch. *rapuit vulpes comedit* v. lat.

10 2 *quem puer compellebatur* vers. lat.

ἐξελθεῖν. ᾧ ὁ σκορπίος λέγει· „ὅρα, τάλας, μὴ ὡς ἐμὲ θηρεύεις, ἑαυτὸν ἀπολέσῃς.“

οὗτος ὁ μῦθος παραγγέλλει μηδὲν τοιοῦτον τολμᾶν, ὅ ἐστιν ἐπικίνδυνον.

11. *ΚΥΩΝ ΚΡΕΑΣ ΦΕΡΟΥΣΑ*

136c cf. I p. 161

κύων κρέας ἁρπάσας ποταμὸν διέβαινεν καὶ θεασάμενος τοῦ κρέως τὴν σκιὰν ὑπώπτασεν μείζονα εἶναι ⟨οὗ⟩ ἔφερεν· καὶ ὡς αἱρεῖ, ἀπέβαλεν ⟨ὃ⟩ ἐκράτει.

οὕτω πολλοὶ ἄνθρωποι τὰ ἄδηλα ὡς θηρεύουσιν ἀποβάλλονται τὰ ἴδια.

12. *ΜΥΣ ΚΑΙ ΒΑΤΡΑΧΟΣ*

312

βάτραχος μῦν ἔπεισεν κολυμβᾶν, οὗ τὸν πόδα πρὸς τὸν ἴδιον πόδα ἔδησεν. εἶτα ὅτε εἰς τὸ ὕδωρ αὐτὸν ἀγηόχει, καθὼς ἔνυδρον ζῷον μετὰ χαρᾶς κατέδυνεν, ὁ μῦς δέ, ὡς ἐν ἀσυνήθει τόπῳ φύσεως ἰδίας κολυμβῶν ἀπώλετο. μετὰ δὲ

---

12 vita Aes. 54 W, 300 E par. Bodl. 144 — Phaedr. sol. p. 17 Thiele Rom. IV

---

11 V 11 P 5   12 V 12 P 6

---

3 *ως ελλεθηρευεις* idem rursus epimythium apud Romulum in his dissentit P || 1 *παις ην* (*ἐν* Bouch.) *υλη ακρ. θηρ. υπεπληθρον εσταστη* (*ὑπὲρ λίθον ἐστάθη* Bouch.) *υφ ου σκ. εκρ.* || 2 *ον εβ. ο παις αντι ακρ. ηξεληιν* (*ἐξελεῖν* Bouch.) *conabatur* vers. lat. || 3 *τινι ο σκ. λ. ορα φησιν ω ταληπορη* (*ταλαίπορε* Bouch.) .. *σηδιτον απολησες* || 5 *ουτος ο μ. παρ. μηδ. τοι. ακοισαι* (*ἀκοῦσαι* Bouch., *ādere* (= audere, audire Bouch.) vers. lat. *ο εστιν δυνομενον* (*ἐπικίνδυνον* Bouch. an = *κινδυνόμενον*?)

11 1 *κρεας κυον* V | *ηρπασιν και ποτ. δι ιδων τη την* P *ης* V *οὗ* Getzl. || 2 *σκιαν του κρεας νομισας αληθεν ηιναι ηθελησεν αρπαξαι* P | *ὑπώπτευσεν* Böck. || 3 *και συνεβη αυτω ην ηιχεν ἀποβαληιν* P | *ὃ* Getzl. *ην quam* V || 4 *αδηλα θερηινου αποβαλουσιν τα ειδια* P

12 1 *κολ. τινος ποδαν τω ιδιω προσεδησην* P || 2 *ἀγηόχει*] Böck. *ατειοχει* V *ως ηλθεν εις τινα λυς τοι ποταμου* P — *εἰς τὴν δίνην τοῦ ποταμοῦ*? Bouch. || 3.4 *αυτος μην καθως υδρον ζωον κολυμλων απωλεσην* P — ⟨*οὐκ*⟩ *ἀπώλετο* Bouch. || 4 *δὲ* om. P

τρεῖς ἡμέρας ἀσκὸς ὁ μῦς φυσηθεὶς ἐκολύμβα, ὃν κολυμβῶντα νεκρὸν ἰκτῖνος πετόμενος ἥρπασεν· καὶ τῷ λίνῳ ὁ βάτραχος ἠκολούθησεν, ὃν εὐθέως ὁ ἰκτῖνος κατέπιεν.

οὕτως οὖν, ὃς ἄλλῳ τις κίνδυνον κινεῖ, ἑαυτὸν ἀπολεῖ.

13. *ΟΝΟΣ ΑΡΡΩΣΤΟΣ ΚΑΙ ΛΥΚΟΣ*

(= Crus. Babr. 250)

313

ὄνον ἄρρωστον λύκος ἐπεσκέπτετο καὶ ἤρξατο τὸ σῶμα αὐτοῦ ψηλαφᾶν καὶ ἐξετάζειν, ποῖα μᾶλλον μέρη αὐτοῦ ἐπόνουν. ἀπεκρίθη ὁ ὄνος· „ἃ σὺ θιγγάνεις."

οὕτως ἄνθρωποι κακοί, εἰ καὶ ὠφελεῖν δοκοῦσιν, μᾶλλον βλάπτουσιν.

14. *ΤΑΥΡΟΣ ΚΑΙ ΑΙΓΕΣ ΑΓΡΙΑΙ*

242b cf. supra p. 62

ταῦρος φεύγων λέοντα ἑαυτὸν εἰς σπήλαιον ἔβαλεν, ὅπου ἦσαν τράγοι τρεῖς, οἵτινες ⟨ὡς⟩ ἑώρακαν τοῦτον φοβούμενον, κατεγέλων αὐτοῦ. κἀκεῖνος ἀπεκρίθη· „ὦ ἀπονενοημένοι, εἰ γὰρ ᾔδειτε, τί ὧδε κατέφυγον, οὐκ ἄν μου κατεγελᾶτε."

οὕτως οὖν ἐνίοτε τὰ δυνατὰ πρόσωπα ὑπὸ ἀδυνάτων ὑβρίζονται.

---

13 Rom. LXXXIX **14** cf. Rom. XC

---

13 V 13 P 13 **14** V 14 P 14

---

5 *φυσηθεις ο μυς επει του υδατος ηφερητο* P || 6 *τοιτον ικτινος ηρπαξεν ειτηκολουθησεν ο βατρ. ην* (*ὃν* Bouch.) *ευθηως ο ικτ. κατηφαγεν* P | *τω αυτω eodem lino* V || 8 *ὅστις* Böck. | *κιναυνον εργαζηται* P | *ἀπολεῖ*] Böck. *απομει* V *απολυει* V

13 1 *επεσκειττετο* V *επισκευσητο* P || 2 *ψηλαφαν* (*-φηιν*) P || 3 *τινγανις* V *και πυθαν εσται* P *πονοιη* P

14 1 *καταφιγεν εηιοσπηλεον* P || 2 *ὡς* ins. Böck. *οιτινης ιδοντες αυτον φοβ. ηγελωντε* P || 3 *αυτους κακ. αυτους απ.* V *ο δε απεκρινθη αυτοις* P | *απονενον μενοι* V *ωπονηνοημηνοι* P || 4 *ηιδιτη ουκ* P om. | *τί ὧδε κατέφυγον* | *οὐδ'* Getzl. | *μη = μοι* P || 6 *τὰ* om. P

15. ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΛΕΩΝ ΣΥΝΟΔΕΥΟΝΤΕΣ

264 b cf. supra p. 84

[*Αἴσωπος ἐπερωτηθείς, διὰ τί γυναῖκες ἀνδράσιν προῖκα διδόασιν καὶ οὐκ ἄνδρες γυναιξίν, ἤρξατο τοιούτου μύθου.*] *ἄνθρωπος καὶ λέων ποτὲ εἰς ἑαυτοὺς ἤριζον, τίς εἴη προὔχων, καὶ ἐζήτουν ταύτης τῆς ἀμφισβητήσεως μαρτυρίαν. καὶ ὡς ἦλθον, ὅπου ἦν μνημεῖον, ἐν ᾧ ἦν ἐζωγραφημένον, πῶς λέων ὑπὸ ἀνθρώπου ἐπνίγετο, ἐδείκνυεν οὖν αὐτῷ ὁ ἄνθρωπος τὴν μαρτυρίαν ἐν τῇ ζωγραφίᾳ. ἀλλὰ ὁ λέων ἀπεκρίθη· „αὕτη ἡ ζωγραφία ὑπὸ ἀνθρώπου ἐξωγραφήθη· εἰ δὲ καὶ λέων ἐζωγράφει, ἑωράκεις ἄν, πῶς λέων ἔπνιγεν ἄνθρωπον. ἀλλὰ κἀγώ, ἔφη, δώσω σοι ἀληθινὴν μαρτυρίαν“. ἤγαγεν αὐτὸν εἰς ἀμφιθέατρον καὶ ἔδειξεν αὐτῷ, πῶς ἄνθρωπος ὑπὸ λέοντος ἐπνίγετο καὶ εἶπεν· „ὧδε χρωμάτων μαρτυρία χρεία οὐκ ἔστιν ἀλλὰ ἀληθείας.“ καὶ ὁ ἄνθρωπος ἀπεκρίθη· „νενικήκεις ἄν, εἰ μὴ δεδεμένον μοι τὸν ἄνθρωπον ἐδείκνυες. πίστευσον οὖν νενικημένον σε ἐν τούτῳ φανερῷ καὶ ἑτοίμασόν σε ἐν τοῖς ἄλλοις ἀπέχεσθαι καὶ εἰδέναι λέοντα ὑπὸ ἀνθρώπου χαλινοῦσθαι, ἵνα μὴ κακὸς καὶ ἀδάμαστος ᾖς.“*

[*πολλάκις οὖν τέχνης λόγος τρέχει εἰς αὐτούς· ἄλλοι δὲ διορθοῦσιν μακρότερον βιβλίοις ἐνορῶντες φύσεως εὐφυΐαν.*]

---

15 cf. Rom. XCI

---

15 V 15 P 15

---

15 1 introductionem e vita quadam Aesopi petitam seclusi || 2 *οι ανδρες ταις γυν.* P || 3 *ληων εριξοντε εις αυτ.* P || 4 *επανώτερος* pro *προὔχων* V | *superior* vs. lat. *μαρτυρον* P || 5 *ανθρωπος ηγαγεν τον λεοντα προς μνημιν οπου ην* P || 6 *απο ανθρ. επιγετο αλλα λεων απεκριθη* ceteris omissis P || 8 *αυτη φησιν ζωγρ.* P || 9 *εννιγεν* V *πνειγοτον* P || 10 *και ωφησιν διδωσοι αληθες μαρτιριαν* P || 11 *ο ανθρ.* P || 12 *χρωματων colorum* V *ομματον oculorum* P || 13 *μαρτίριον* P an *μαρτυρίας*? || 14 *ἂν* om. P | *τὸν* om. P || 16 *καὶ* om. P | *ετοιμασω* V *ετυμασον ουν* P | *απεχεσαι* V || 17 *ἵνα* om. P || 18 *ᾖς* om. P || epimythium om. V || 20 *libros intuentes naturae ingenium* vers. lat. in P — perobscura haec — initium affabulationis deest — frustra interpretari conatur Getzl. ad fabulam de formica et cicada (P 16) spectare credit Bouch.

16. *ΜΥΣ ΑΡΟΥΡΑΙΟΣ ΚΑΙ ΜΥΣ ΑΣΤΙΚΟΣ*

314

μῦς ἀρουραῖος ἐκάλεσεν ἐφ' ἑστίασιν μῦν ἀστικὸν καὶ παρεῖχεν αὐτῷ σιτεῖσθαι τὰ ἐν ἀγρῷ, συκῶν τε καὶ σταφυλῶν καὶ τῶν ἄλλων ἀκροδρύων. ὁ δὲ πολλὴν αὐτοῦ πενίαν κατεγίνωσκεν, ἐκέλευέν τε τῇ αὔριον ἀφικνεῖσθαι πρὸς αὐτόν. καὶ ὃς εἰς πλουσίου ταμεῖον αὐτὸν εἰσαγαγὼν παρεῖχεν εὐωχεῖσθαι τοῦτο μὲν κρεῶν παντοδαπῶν, τοῦτο δὲ ἰχθύων, ἔτι δὲ καὶ πλακούντων. ἐν ᾧ δὲ πρὸς τούτοις ἦσαν, ἡ ταμιοῦχος ἐπεισῆλθεν καὶ τούτους δέος τε καὶ φυγὴ καταλαμβάνει. καὶ ὁ ἀρουραῖος πρὸς τὸν ἀστικόν· „σὺ μέν", ἔφη, „ταύτης ἀπόλαυε τῆς τροφῆς μετὰ τοσούτων ἐδεσμάτων, ἐγὼ δὲ χαίρω τῇ μετὰ ἀδείας καὶ ἐλευθερίας τροφῇ."

---

16 Hor. serm. II 6, 80—117 Babr. 108 Rom. XV Aphth. 26 cf. infra

---

16 V 18 P 17

---

16 1 *αστειον παριχην ουν αυτω* P || **2** *ἀγρῷ* ⟨*ὄντα*⟩ Getzl. *αγρω ηντο* (= *ὄντα* Getzl.) *συκως και σταφηλης και λυπα* (= *λοιπὰ*) *των ατωρων* (*ὀπωρῶν* Bouch.) P || **3** *πολυ λυτοι mullam eius* P || **4** *εκηλευσην τε τε υστηρα προς εαυτον ελθηιν και εκεινος* P || **5** *ειπαου ταμιον* P *ταμιον* V || **6** *κρεων ηκτηνιαν* (*ἐκτένειαν* Bouch. *copiam* v. lat.) || **7** *ιχθυων προς δε μην ετι και πλακων* P || **8** *επισερδεται* (= *ἐπεισέρχεται*) *και τους δη φοβος και* P || **9** *προς αστιον* P || **10** a *τροφῆς* desinit P

Λιβανίου μῦθοι

(cf. Hsr. RE XIX 1491, praef. I p. XXI)

1. *ΛΥΚΟΙ ΚΑΙ ΠΡΟΒΑΤΑ*

(Kor. 237 c. Foerst. VIII p. 24) 158 b cf. I p. 185

οἱ λύκοι παρὰ τῶν προβάτων εἰρήνην καὶ ἡσυχίαν ᾔτουν καὶ „ἥδε ἡ ἡμέρα μεγάλων ἄρξει ἀγαθῶν ὑμῖν τε καὶ ἡμῖν," ἔλεγον. „ἀπαλλαγεῖσι γὰρ πολέμου καὶ κακῶν ἐξέσται παρ' ἀλλήλους φοιτᾶν ἀδεῶς. σπενδώμεθα τοίνυν. ἀλλ' εἰ μέλλει τι βέβαιον ἔσεσθαι ταῖς σπονδαῖς καὶ οὐ γράψαντες αὐτίκα λύσομεν, τοὺς πονηροὺς καὶ πολεμίους κύνας ἀποδιωκτέον ὑμῖν, ἐπεὶ καὶ νῦν παρὰ τούτων ἡ ταραχὴ καὶ τὸ ὑποπτεύεσθαι τοὺς λύκους. πολλάκις γὰρ ἁπλῶς παριόντας ἡμᾶς τὰ ποίμνια προεκπηδῶντες ὑλακτοῦσιν, οἱ δὲ οὐ σφόδρα θέλοντες παροξύνονται καὶ λυποῦσι. τί οὖν ὑμῖν δεῖ κυνῶν εἰρήνης οὔσης πρὸς λύκους;" ὑπήχθη τὰ πρόβατα· τοιοῦτον γὰρ τὸ γένος εὐηθείας γέμον. καὶ οἱ κύνες ἀπεσκορακίζοντο καὶ ἐφεστήκεσαν οἱ λύκοι, τὰ δὲ ἔρημα κατησθίετο.

τοῖς ἐχθρῶν λόγοις οὐ πιστευτέον τὴν προσήκουσαν φυλακήν.

2. *ΧΕΛΩΝΗ ΚΑΙ ΙΠΠΟΣ*

(Kor. 287 c Foerst. VIII p. 25)

254 b cf. supra p. 74 *χελώνη καὶ λαγωός*

σεμνὸς ἦν ὁ ἵππος ἐπὶ τῷ τάχει καὶ ἀπέκναιε τὰ ἄλλα ζῷα σφόδρα ἑαυτὸν ἐπαινῶν, μάλιστα δὲ τῇ χελώνῃ λυπη-

---

1 5 varia lectio *μέλλοι* || 15 v. l. *τελευτήν*. corrupta haec recte iudicat Boisson. post *πιστευτέον* excidisse quaedam videntur — ⟨*τοῖς λοιδοροῦσιν*⟩ *τήν*?

2 2 *μάλιστα . . . προφέρων*] Reiske *ἐπαινῶν, μάλιστα δὲ τὴν χελώνην. λυπηρὸς δὲ ἦν προφέρων* libri, edd.

ρὸς ἦν προφέρων τὴν βραδύτητα. ἡ δὲ ἤλγησε τοῖς ὀνείδεσι καὶ ποιεῖται πρόκλησιν εἰς δρόμον. τῷ δὲ ἵππῳ γέλως τε ἦν ἡ πρόκλησις καὶ οὐκ ἠξίου διαμιλλᾶσθαι. γέλωτος δέ τι καὶ τοῖς ἄλλοις ζῴοις ἐνέπεσεν εἰς τὸ παράλογον ὁρῶσι τῆς φύσεως. ἐγκειμένης δὲ τῆς χελώνης καὶ δισχυριζομένης ὡς περιέσται ἀναγκάζει τὰ ἄλλα ζῷα τὸν ἵππον μὴ ἀπαρνηθῆναι τὴν ἀγωνίαν. ἀποδείκνυται δὴ τὸ στάδιον καὶ ἡμέρα τῷ δρόμῳ. καὶ τὸ ἐντεῦθεν ὁ μὲν ἵππος ἐτρύφα παρὰ τῇ φάτνῃ, τῇ δὲ χελώνῃ μελέτη ἦν συνεχὴς καὶ οὐδὲ νυκτὸς προϊούσης ἔληγεν. ἧκε δὲ ἡ κυρία καὶ μεστὸν ἦν τὸ θέατρον καμήλων, ὄνων, ὀρνέων οἷς τε ἄνθρωποι χρῶνται. καὶ μὴν καὶ ἐλάφους συνήγαγεν ἡ φήμη, καὶ ἐμειδία τὸ θέατρον ὡς παραπαιούσης τῆς χελώνης. ἐπεὶ δὲ ἤρθη τὸ σημεῖον καὶ θεῖν ἐχρῆν, ὁ μὲν ἵππος ὥσπερ καὶ πρῴην πεπεδημένος ἔμεινεν ἐν ἀργίᾳ τε καὶ κόρῳ, τῇ δὲ ἡ μελέτη τάχος ἐδεδώκει καὶ νίκην.

καὶ σύ, ὦ παῖ, μὴ τῇ φύσει πιστεύσας κάθευδε, ἀλλ' οἴου καὶ πόνου δεῖν. εἰ δὲ μή, παραδραμεῖταί σε ῥᾳδίως ἐκεῖνος οὐκ εὖ πεφυκώς.

3. *ΚΟΛΟΙΟΣ ΚΑΙ ΟΡΝΕΑ*

(Kor. 188f. Foerst. VIII p. 26) 103d cf. 1 p. 129

ἔδοξε τῷ Διὶ βασιλεύεσθαι καὶ τὸ ὀρνίθων γένος καὶ διὰ τοῦ Ἑρμοῦ πρὸς ἀγῶνα κάλλους ἐκάλει ὡς δώσων τῷ καλλίστῳ φανέντι τὴν ὀρνίθων ἀρχήν. ἐκαλλωπίζετο γοῦν τὰ ὄρνεα, τὰ μὲν ἐν κρήναις, τὰ δ' ἐν πηγαῖς τε καὶ

---

12 *προσιούσης*? Reiske *προϊοῦσα* Jacobs || **14** alterum *καὶ* omittunt codices plures, edd. || **16** *σε* om. cod. plures, edd. || **21** *ἕτερος* pro *ἐκεῖνος*? Foerster

meminit Libanius huius fabulae in or. LXII 43 — IV 368 F. — *ἐντεῦθεν αἱ χελῶναι τοὺς ἵππους παρευδοκιμοῦσιν οὐ κατὰ τὸν Αἰσώπου μῦθον ῥαθυμοῦντας πονοῦσαι, ἀλλ' αὐτῷ τῷ λείπεσθαι τοῦ τάχους νικῶσαι*

3 1 v. l. *βασιλεύσασθαι*

λίμναις καὶ τῶν πτερῶν ἐξετίλλετο ὁπόσα αὐτοῖς ὥραν οὐκ ἔφερεν. ὁ δὲ κολοιός, ἦν γὰρ ἄμορφος, ἐπιτεχνᾶται τοιάδε· τῶν πτερῶν ὁπόσα ἐπέπλει τοῖς ὕδασιν ἀναιρούμενος ἕκαστον ἑαυτῷ περιετίθει συναρμόττων σοφῶς ἄλλο ἐπ' ἄλλῳ, καὶ χρῆμα ποικιλώτατον γίνεται. καὶ ὡς ἧκεν ἐπὶ τὴν κρίσιν, ἐπέστρεψεν μὲν τῶν ὀρνέων τὰ ὄμματα, θάμβος δὲ ἐνέβαλε καὶ αὐτῷ τῷ δικαστῇ, ὥστε ὑπεχώρει μὲν αὐτῷ καὶ ὁ λευκότατος κύκνος, μικρὸν δὲ ὁ ταὼς ἐδόκει καὶ αἱ τούτου βαφαί, καταπεφρόνητο δὲ καὶ ἡ ἀετῶν σεμνότης. μέλλοντος δὲ ἤδη τοῦ Διὸς ἐγχειρίζειν αὐτῷ τὸ σκῆπτρον ἡ γλαῦξ ἰδοῦσα τὸ ἑαυτῆς ἐν τῷ κολοιῷ πτερὸν προσιοῦσα ἀπέσπα καὶ ἄλλος τὸ ἑαυτοῦ καὶ πᾶς τὸ οἰκεῖον. ἀπελθόντων δὲ τῶν ἀλλοτρίων ἐγυμνοῦτο τοῦ κολοιοῦ τὸ εἶδος καὶ ἐγελᾶτο.

τὸ μὴ τοῖς οἰκείοις κοσμεῖσθαι βραχεῖαν μὲν τὴν ἀπόλαυσιν, πολλὴν δὲ ἐλεγχθέντι ποιεῖ τὴν αἰσχύνην.

---

5 *ἐξετίλλετο*] Cobet *ἐξεκαλεῖτο* libri *ἐξωθεῖτο* Theophyl. Basil. *ἐξείλκετο* Sintenis || **9** v. l. *ποικιλότερον* || **10** v. l. *ἐπέστραψε ἐπέστρεφε*

μῦθοι Ἀφθονίου ῥήτορος

(cf. Hsr. RE XIX 1492 praef. I p. XXI—XXII)

1. *ΜΥΘΟΣ Ο ΤΩΝ ΤΕΤΤΙΓΩΝ ΚΑΙ ΤΩΝ ΜΥΡΜΗΚΩΝ ΠΡΟΤΡΕΠΟΜΕΝΟΣ ΤΟΥΣ ΝΕΟΥΣ ΕΙΣ ΠΟΝΟΝ*

(Kor. 134 b Halm 401 b) 114 d cf. I p. 139

θέρους ἦν ἀκμὴ καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. χειμῶνος δὲ ἐπιγεγονότος οἱ μύρμηκες μέν, οἷς ἐπόνουν, ἐτρέφοντο· τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν.

οὕτως νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ.

2. *ΜΥΘΟΣ Ο ΤΟΥ ΧΗΝΟΣ ΚΑΙ ΤΟΥ ΚΥΚΝΟΥ ΤΟΥΣ ΝΕΟΥΣ ΕΙΣ ΛΟΓΟΥΣ ΠΑΡΑΚΑΛΩΝ*

(Kor. 74 b Halm 215) 277 = Acc. supra p. 93

ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἄμφω τρέφειν ἐβούλετο. ἔτρεφε δὲ οὐκ ἐφ' ὁμοίοις βουλεύμασι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἐκέκτητο χάριν. ὡς δὲ ἔδει τὸν χῆνα παθεῖν, ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον, ὁ κύκνος δὲ ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς ᾠδῇ σημαίνει τὴν φύσιν καὶ τὴν τελευτὴν διαφεύγει τῷ μέλει.

οὕτως ἡ μουσικὴ τελευτῆς ἀναβολὴν ἐργάζεται.

---

1 Aphth. prog. I Rabe p. 2 = prog. Doxapatres homil. in Aphth. rh. gr. W II 177—84

---

1 1 *ἠθικὸς μῦθος* prog. || 2 *προτρέπων* prog. || 3 *πρὸς* G prog. *ἐπὶ* Dox. *πόνον* A || 5 *πονεῖν ἐποίει συλλέγειν* BO || 7 *οἱ* om. B, prog. || 9 *οὕτως ἡ* Dox. *οὕτω καὶ* J

2 2 *περιβαλὼν* B || 3 *ἄμφω*, quod deest in Accursiana, iure molestum dicit Korais. an fuit *ἀνατρέφειν*? || 6 *παθεῖν*] scr. sec. Accursianam *ἀποθανεῖν* libri

3. *ΜΥΘΟΣ ⟨Ο⟩ ΤΩΝ ΙΚΤΙΝΩΝ ΚΑΙ ΚΥΚΝΩΝ ΠΑΡΑΙΝΩΝ ΜΗ ΜΙΜΕΙΣΘΑΙ ΤΑ ΜΗ ΠΡΟΣΗΚΟΝΤΑ*

(Kor. 293 Halm 170)

315

ὅσην τοῖς κύκνοις ἡ φύσις ᾠδήν, τοσαύτην ἰκτίνοις παρέσχε τὸ πρότερον. ἵππων δὲ χρεμετιζόντων ἀκούσαντες εἰς ἔρωτα ἧκον τῆς ἐκείνων φωνῆς καὶ μιμεῖσθαι πειρώμενοι συναποβάλλουσιν ἃ εἶχον, οἷς μαθεῖν ἐπετήδευον. χρεμετίζειν μὲν γὰρ οὐκ ἔμαθον, ᾄδειν δὲ ἐπελάθοντο.

φέρει τῶν προσόντων τὴν στέρησιν ἡ τοῦ μὴ προσήκοντος μίμησις.

fere iisdem verbis enarrat hanc fabellam

Iulianus imperator — misopogon 366 A —

(Halm 170b) 315b

λέγεται . . . τὸν ἰκτῖνα φωνὴν ἔχοντα παραπλησίαν τοῖς ἄλλοις ὄρνισιν ἐπιθέσθαι τῷ χρεμετίζειν ὥσπερ οἱ γενναῖοι τῶν ἵππων. εἶτα τοῦ μὲν ἐπιλαθόμενον, τὸ δὲ μὴ δυνηθέντα ἑλεῖν ἱκανῶς ἀμφοῖν στέρεσθαι καὶ φαυλότερον τῶν ἄλλων ὀρνίθων εἶναι τὴν φωνήν.

4. *ΜΥΘΟΣ Ο ΤΟΥ ΙΞΕΥΤΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΛΟΓΟΙΣ ΠΡΟΣΕΧΕΙΝ ΑΛΛ' ΕΡΓΟΙΣ*

(Kor. 294 Halm 172)

316

ἰξευτὴς τέττιγος ἀκούσας μέγα τι θηράσειν ἐδόκει. μετρεῖ δὲ τὴν θήραν ἐκ τῆς ᾠδῆς παρερχόμενος. ὡς δὲ τὴν τέχνην κινήσας εἷλε τὸ θήραμα, ᾠδῆς μὲν πλέον οὐδὲν ἐκομίσατο, κατῃτιᾶτο δὲ τὴν δόξαν ὡς ψευδῆ τοῖς πολλοῖς κρίσιν ἐπάγουσαν.

οὕτως φαῦλοι δοκοῦσι μᾶλλον ἤπερ γεγόνασι.

---

4 cf. Plut. apophth. Lac. 15 p. 233 A vita Aes. 43 W 283 E

---

3 1 *ὁ* om. libri || 3 *παρέσχετο πρότερον* AK cod. Huds. || 5 *ἐπειρῶντο* cod. Huds. || 6 *ἃ εἶχον*] Kor. *ἃς* libri

315b 3 *οὐ* libri — *μὴ* Hertl. || 4 *φαυλοτέραν* Cobet

4 3 *μετρεῖ δὲ*] B *μετρεῖν* AF *μετρεῖ* rel. *μετρῶν* Ch. Schneider || 4 *παρεχόμενος* A || 6 *πολὺ ψεύδη* B || 8 *οἱ φαῦλοι* Kor. edit. | *γεγονέναι* H

5. *ΜΥΘΟΣ Ο ΤΗΣ ΑΙΓΟΣ ΠΑΡΑΙΝΩΝ ΜΗ ΚΡΥΠΤΕΙΝ ΤΑ ΠΡΟΔΗΛΑ*

(Kor. 151 b Halm 17)

317

αἶγα ἀποστᾶσαν ἀγέλης ἐπανάγειν αἰπόλος ἐπειρᾶτο πρὸς τὰς λοιπάς. ὡς δὲ φωναῖς καὶ συριγμοῖς χρώμενος οὐδὲν μᾶλλον ἤνυεν, λίθον ἀφεὶς καὶ τοῦ κέρως τυχὼν ἐδεῖτο τῷ δεσπότῃ μὴ κατειπεῖν. ἡ δὲ „ἀνούστατε", εἶπεν, „αἰπόλων, τὸ κέρας κεκράξεται, κἂν ἐγὼ σιωπήσωμαι."

οὕτω λίαν εὐήθεις οἱ τὰ πρόδηλα κρύπτειν ἐθέλοντες.

6. *ΜΥΘΟΣ Ο ΤΟΥ ΑΙΘΙΟΠΟΣ ΔΗΛΩΝ ΤΑΣ ΦΥΣΕΙΣ ΜΗ ΜΕΤΑΒΑΛΛΕΣΘΑΙ*

(Kor. 75 Halm 13) = Acc. 274 supra p. 91

Αἰθίοπά τις ὠνήσατο τοιοῦτον εἶναι τὸ χρῶμα δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. καὶ παραλαβὼν οἴκαδε πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο φαιδρύνειν. καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ ἔσχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

μένουσι αἱ φύσεις ὡς προῆλθον τὸ πρότερον.

paucis exornatam hanc fabulam narrat

(3) Themistius or. XXXII 359c

(Kor. 75b) 274c

1. *λέγει δὲ (Αἴσωπος ὁ μυθοποιός), ὅτι ὁ πριάμενος τὸν Ἰνδὸν ἐδυσχέραινε πρὸς τὴν χροιάν. ἀπονίζειν οὖν αὐτὸν ἐπειρᾶτο καὶ ἀποσμήχειν περιάγων κρήνας καὶ ποταμοὺς καὶ ῥύμμασι χρώμενος καὶ χαλαστραίοις. ὡς δὲ αὐτῷ τὸ μὲν χρῶμα*

---

5 Babr. 3 par. 4 tetr. I 35 Synt. 41 cf. infra

---

5 3 *αἶγαν* K, Nev. Kor. || 4 *φωνῶν* Q | *συρισμοῖς* A || 7 *σιωπήσομαι* Nev. Kor.

6 5 *αὐτῷ* om. H | *ῥύματα* BKHL, Acc. || 6 *μεταβάλλειν* AHKL || 7 *τὸ* A, Acc. || 8 *ὥσπερ ἦλθον* B

274c 2 *τὸν* delet Kor. | *χρόαν* cod. edd. || 4 *χαλαστραίοις*] Ruhnkenius *χαλάστραις* cod. (cf. Plato de re publ. IV 430 A)

ἔμενεν ἀκραιφνές, τὸ δέρμα δὲ ἐξετρίβετο, φιλονεικῶν [δὲ] κατέμαθε μόλις, ὅτι ἡ χροιὰ φύσις ἦν τῷ Ἰνδῷ καὶ ὅτι ῥᾷον αὐτοῦ τὴν ψυχὴν ἢ τὴν μελανίαν ἀφαιρήσεσθαι.

7. *ΜΥΘΟΣ Ο ΤΗΣ ΠΑΡΘΕΝΟΥ ΚΑΙ ΤΟΥ ΛΕΟΝΤΟΣ ΗΔΟΝΩΝ ΑΠΟΤΡΕΠΩΝ*

(Kor. 221f.) 145c cf. I p. 169

λέων ἤρα παρθένου καὶ προσελθὼν τῷ πατρὶ τῆς παιδὸς ἐγγυῆσαι τὴν κόρην πρὸς γάμον ἐδεῖτο. δεδιὼς δὲ ὁ πατὴρ ἀπαρνήνασθαι μετὰ τῶν ὀδόντων ἐκβαλεῖν ἐπειρᾶτο τοὺς ὄνυχας, μὴ ταῦτα, λέγων, φόβον τῇ παιδὶ κατεργάσηται. καὶ πεισθεὶς ὁ λέων ὑπ' ἔρωτος ἀμυντηρίων πρόσεισι γυμνός· προσιὼν δὲ ῥοπάλοις τὴν τελευτὴν ἀντηλλάσσετο.

ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὸν κίνδυνον.

8. *ΜΥΘΟΣ Ο ΤΟΥ ΛΕΟΝΤΟΣ ΠΑΡΑΙΝΩΝ ΚΑΚΙΑΣ ΑΡΕΤΗΝ ΠΡΟΤΙΜΑΝ*

(Kor. 137b) 147d cf. I p. 172

γῆρας ἐλύπει τὸν λέοντα καὶ θηρᾶν οὐκ ἠδύνατο. βουλόμενος δὲ πορίσασθαι τροφὴν νοσεῖν ὑπεκρίνατο καὶ σχήματι νόσου πόρον τῆς τροφῆς ἀπειργάζετο. τὰ γὰρ πλεῖστα τῶν ζῴων προσιόντα φιλοφρονούμενος τροφὴν πρόχειρον ἔχων κατήσθιεν. ἑαλωκότων δὲ πολλῶν ἀλώπηξ συνεῖσα τῆς τέχνης ἐν προθύροις μὲν φιλοφρονεῖται τὸν λέοντα· τὰ δὲ τῶν ἑαλωκότων ἴχνη τῆς λύμης ἔλεγχον ἔφερον.

οὕτω σοφία πανουργίας ἐπικρατεῖ.

---

8 Nicol. Myr. 1 Walz rh. Gr. I 266sq.

---

5 *δὲ* delevit Kor.

7 5 *ἐκβαλεῖν ἐπειρᾶτο* suspectum | *ἐπηρώτα* Kor. Kimmedoncii versionem secutus, qui dedit „rogavit“ *ἔπειθ' αὐτόν*? Bölte ‖ 7 *προσήει* K *πρόσεισι* Nev. ‖ 9 *τὴν βλάβην* pro *τὸν κίνδυνον* BK cf. infra 29, 12

8 3 *θηρᾶν γηρῶν* Nic. ‖ 4 *πορίσαι* Nic. ‖ 5 *πόρον τῆς τροφῆς*] AB *πόρον τὴν τροφὴν* K *τὴν εὐπορείαν τῆς τροφῆς* rel., Nic. ‖ 7 *δὲ τῶν πολλῶν* BHKLM, Nic. | *συνιοῦσα* Kor.

9. *ΜΥΘΟΣ Ο ΤΟΥ ΟΝΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΚΑΚΟΥΣ ΕΥ ΠΟΙΕΙΝ*

(Kor. 259b)

318

ὄνος ἐζήτει τὸν ἰασόμενον ἐμπαρέντος αὐτοῦ τῷ ποδὶ σκόλοπος. κατοκνούντων δὲ τῶν πολλῶν μόνος ὁ λύκος ὑπισχνεῖτο τὴν ἴασιν καὶ τοῖς ὀδοῦσιν ἐξαιρεῖται † τοῦ πάθους. ὁ δὲ τῷ σωθέντι ποδὶ τὸν ἰασάμενον ἔπληττεν.

οὕτως οἱ πονηροὶ χάριτος ἀμοιβὰς ἀντεισφέρονται βλάβας.

10. *ΜΥΘΟΣ Ο ΤΟΥ ΟΝΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΠΛΕΙΟΝΩΝ ΕΡΑΝ*

(Kor. 258b Ch. 280b) 199d cf. supra p. 21

ὄνος ἐπεθύμει λέων εἶναι δοκεῖν. καὶ μεταθεῖναι τὴν φύσιν οὐκ ἔχων ἐπὶ τοῦ σχήματος ἀνεπλήρου τὸν πόθον καὶ λεοντῆν περικείμενος οἷα λέων τοὺς τῶν γεωργῶν ἐλυμαίνετο πόνους· καὶ πνεύσας βιαιότερον ἄνεμος γυμνοῖ μὲν αὐτὸν τοῦ προκαλύμματος, φανέντα δὲ ὄνον ῥοπάλοις ἀνῄρουν, ὧν τοὺς πόνους κατήσθιεν.

κόσμος ἐπείσακτος τοῖς χρωμένοις γίνεται κίνδυνος.

in brevius redacta legitur haec fabula apud

Themistium (or. XXI p. 245b)

(Kor. 258c) 199e

4. *ὄνος καὶ λεοντῆ*

... νεμεσῶ γὰρ καὶ τῷ ὄνῳ Αἰσώπου, ἀκούων ὅτι ὄνος ὢν ἠμπέσχετο λεοντῆν. ταύτῃ τοι ξυνελθόντα παιδάρια ξαίνει τε αὐτὸν τοῖς ῥοπάλοις καὶ ἀφαιρεῖται τῆς δορᾶς τε καὶ τοῦ φρονήματος.

---

9 Doxap. 17   10 Nic. 2 Doxap. 18

---

9 fabella inficete e notissimis fabulis de lupo et grue (supra 161) et de lupo et asino, qui vulneratum se simulabat (supra 257), conficta || 1 *τῆς ὄνου* A | *κακοῖς* HNev. || 2 *ἐν τῷ* A || 4 excidisse quaedam videntur; an *ἐξαιρεῖται ⟨τὸν ὄνον⟩ τοῦ πάθους*? qui hoc sensit Doxap. inde ab *ἴασιν* enuntiati finem omisit sed cf. 25, 6 || 5 *πλήττει* Doxap. || 6 *χάριτι* HLNev.Kor. *χάριτος ἀντεισφ. ἀμοιβάς* om. *βλάβας* K | *ἀντεισφέρουσι* B

10 5.7 *κόπους* pro *πόνους* F || 5 *βιαιότερον*] Doxap. *βιαιότερος* libri || 6 *παρακαλύμματος* F || 7 *οἱ ὧν* Nic. *οἱ γεωργοὶ τ. π. αὐτῶν κατεσθίοντα* Doxap. || 8 *κόσμος*] M, Nic., Doxap. *νόμος* rell. | *ἐπικίνδυνος* BJK

11. *ΜΥΘΟΣ Ο ΤΟΥ ΚΑΡΚΙΝΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΣΥΜΒΟΥΛΕΥΕΙΝ ΑΔΥΝΑΤΑ*

(Kor. 295 Halm 187)

319

ἡ μήτηρ πρὸς τὸν καρκίνον· „τί δὴ λοξῇ, ἣν, ὦ παῖ, βαδίζεις ὁδόν, ὀρθὴν ἰέναι προσῆκον;“ ὁ δὲ πρὸς αὐτήν· „ἡγοῦ τῆς ὁδοῦ, ὦ μῆτερ, καὶ πρὸς αὐτὴν βαθίζειν πειράσομαι.“ τῆς δὲ βαδίζειν ἀπορούσης ὀρθῶς κατήγορος ὁ παῖς τῆς παρανοίας ἐγένετο.

ῥᾷον παραινεῖν, ἃ πονεῖν ὑπῆρξεν ἀδύνατον.

12. *ΜΥΘΟΣ Ο ΤΩΝ ΑΛΕΚΤΡΥΟΝΩΝ ΜΕΤΡΙΑΖΕΙΝ ΠΑΡΑΙΝΩΝ ΕΝ ΤΟΙΣ ΕΥΤΥΧΗΜΑΣΙ*

(Kor. 145c Halm 21 b) 266b cf. supra p. 85

ἀλεκτρυόνες συμπεσόντες ἀλλήλοις ὡς νόμος εἶχεν ἐμάχοντο. καὶ ὁ μὲν νικηθεὶς κλίνῃ ὑποδὺς ἀπεκρύπτετο, ὁ δὲ νενικηκὼς ἐπὶ στέγους ἀρθεὶς ἀνέκραγε μέγιστον τὴν νίκην κατάδηλον ἐξ ᾠδῆς ἐργαζόμενος. καὶ καταπτὰς ἀετὸς τοῦτον ἁρπάζει λαβών.

νίκης ἀσφάλεια μετριότης φρονήματος.

---

11 Babr. 109 par. tetr. I 34 Av. 3 Doxap. 18

---

11 3 *τί δὴ*] Doxap. *τί* cod. Huds. *τί δὲ* rel. | *λοξῇ, ἣν*] BHJKL *λοξὴν* rel. *λοξὸν* Doxap. | *βαδίζειν* A || **4** *ἰέναι*] Doxap. *εἶναι* libri || **5** *τῶν ὁδῶν* A Sb | *καὶ αὐτὸς* Doxap. || **7** *τῆς παροινίας* B *τῆς παρανόμου* Doxap. | *ἐγένετο*] B *ἐγίνετο* rel. Doxap. || **8** *παραινεῖν*] Huds. *παραβαίνειν* libri *ποιεῖν* Doxap. deest in B

12 5 *στέγης* AB | *νίκην καὶ* A, Sb || **6** *ἐξ ὀργῆς* A, Sb | *ἐργ. διετέλει καὶ δῆτα* A, Sb || **7** *ἁρπάσας λαβὼν ᾤχετο* B

13. *ΜΥΘΟΣ Ο ΤΟΥ ΙΠΠΟΥ ΠΑΡΑΙΝΩΝ ΣΚΟΠΕΙΝ ΤΑ ΑΝΘΡΩΠΙΝΑ*

(Kor. 193b Halm 174b)

320

ἵππον ἐλύπει τὸ γῆρας καὶ μυλῶνα ἀντὶ μάχης ἐλάμβανεν. ὡς δὲ ἀλήθειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκάζετο, τὴν παροῦσαν ἐδάκρυε τύχην, τῆς δὲ πρώτης ἐμέμνητο· „ἐμοί,“ λέγων, „ὦ μυλωρέ, στρατεύεσθαι μὲν ὑπῆρχε πρότερον, κόσμος δὲ παντὶ περιέκειτο σώματι καὶ θεραπεύων παρηκολούθει τις ἄνθρωπος. νῦν δὲ οὐκ οἶδα, ὅ τι παθὼν ἀντιλαμβάνω τὸν μυλῶνα τῆς μάχης.“ καὶ ὁ μυλωρὸς πρὸς αὐτόν· „ἐπίσχες,“ ἔφη, „τὰ πάλαι θρυλῶν. ἡ τύχη γὰρ θνητοῖς τὴν ἐφ' ἑκάτερα φέρειν οἶδε μεταβολήν.“

14. *ΜΥΘΟΣ Ο ΤΟΥ ΠΕΛΑΡΓΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΣΥΝΕΙΝΑΙ ΚΑΚΟΙΣ*

(Kor. 172b Ch. 285d = Q) 208b cf. supra p. 30

γεωργὸν ἠδίκουν οἱ γέρανοι τὰ καταβαλλόμενα τῇ γῇ προαρπάζοντες σπέρματα. πελαργὸς δέ τις τοῖς γεράνοις συνῆν, τῆς μὲν διατριβῆς κοινωνῶν, τῆς δὲ βλάβης οὐ μετασχών. ἀπειπὼν δὲ πυρῶν τὴν βλάβην ὁ γεωργὸς βρόχους στησάμενος μετὰ τῶν γεράνων εἷλε τὸν πελαργὸν καὶ δίκην ὑπεῖχεν, ὧν οὐδὲν προηδίκησεν.

ὁ συνὼν πονηροῖς τὴν αὐτὴν αὐτοῖς ὑποστήσεται δίκην.

---

13 Babr. 29 par. B. 22 — Phaedr. app. 19 Apul. met. IX 11 — Dio Chrys. VI 41. (212 R) orta e proverbio *ἵππου γῆρας* Macar. IV 80 cf. W. Waters, Class. Philol. 17, 87 **14** Babr. 13 par. 14

---

13 Nic. 3

---

13 **3** *μυλῶνα*] H Nic. cf. 9 *μύλων* B *μύλαν* K *μύλον* rel. *μυλῶν'* Sb || **5** *ἐμοὶ δὲ* B || **6** *στρ. οὐκ εἶχε τὸ πρότερον* B || **7** *τῷ σώματι* Kor. | *παρηκολούθει τοῖς ἀνθρώποις* K, Nev. *παρηκολούθουν τοῖς ἀν.* Kor. || **9** *μύλωνα* AB Nic. || **10** *τὰ πάλαι* B Nic. *ταῦτα πάλαι* A *τὰ παλαιὰ* rel. || **11** *εἰς ἕτερα* Nic. | *ἡ . . . μεταβολήν* miniata in libris ut epimythium seposuit Nev. om. A

14 **6** *πυρῶν τὴν βλάβην*] AB *πρὸς τὴν βλ.* Q *τὴν βλάβην* rel. || **7** *στήσαντος* Q *στήσας* Ch. | *καὶ τὸν* Q || **9** *ὑφίσταται* Q

15. *ΜΥΘΟΣ Ο ΤΗΣ ΚΑΜΗΛΟΥ ΤΗΝ ΕΠΙΘΥΜΙΑΝ ΚΑΚΙΖΩΝ ΤΟΥ ΠΛΕΙΟΝΟΣ*

(Kor. 197b) 119b cf. I p. 145

εἶδεν εἰς ταῦρον ἡ κάμηλος καὶ κεράτων ἐπεθύμει μεταλαβεῖν. προσελθοῦσα οὖν τῷ Διὶ κερῶν ᾔτει τυχεῖν. ὁ δὲ τῆς ἀπληστίας μισήσας Ἑρμῇ κελεύει προσαφελέσθαι τῶν ὤτων· ὅθεν καμήλῳ ταῦτα τοῦ λοιποῦ καταδεέστερα σώματος.

ὁ πλειόνων ἐρῶν καὶ τῶν προσόντων ἀποστερεῖται.

16. *ΜΥΘΟΣ Ο ΤΩΝ ΤΑΥΡΩΝ ΠΑΡΑΙΝΩΝ ΕΙΣ ΟΜΟΝΟΙΑΝ*

(Kor. 296 Halm 394b)

321

ταῦροι τρεῖς τὴν αὐτὴν δίαιταν ἐπεποίηντο. λέων δέ τις αὐτοῖς παρηκολούθει θηρᾶσαι βουλόμενος. καὶ συνόντας μὲν ἑλεῖν οὐκ ἐδύνατο, διαστάντας δὲ προῃρεῖτο χειρώσασθαι. καὶ συγκρούσας ἀλλήλοις ἐν μέρει διαστήσας ἀπέκρινε, καὶ καθ᾽ ἕκαστον προχειρότερον ἔφθειρεν, οὓς κοινῇ συνόντας ἠπόρει χειρώσασθαι.

οὕτως ὁμόνοια τοῖς χρωμένοις σωτήριον.

melius conformata haec fabula legitur apud Themistium (or. XXII 278d)

5. *λέων καὶ ταῦροι δύο*

(Kor. 296d) 321b

ταῦροι δύο μιᾶς ἡγεῖσθον ἀγέλης, ξυννόμω τε ὄντε καὶ ὅτι μάλιστα φίλω. ὁ λέων δὲ αὐτοῖν τὴν ξύστασιν ἐδεδίει, καὶ οὔτε αὐτοὺς ἐθάρσει οὔτε δι᾽ αὐτοὺς τὴν ἀγέλην. κακῶς οὖν ὑπὸ λιμοῦ διακείμενος ἔρχεται ἐπὶ τὴν κερδώ, καὶ ξυμμαχίαν ὁμολογοῦσι. τῇ δὲ ἄρα τοσοῦτον κακουργίας καὶ δεινότητος περιῆν, ὥστε προσενεγκοῦσά τινα μηχανὴν διέστησέ τε αὐτὼ καὶ ἐξέμηνε κατ᾽ ἀλλήλοιν καὶ παραδέδωκε τῷ λέοντι δίχα ἑκάτερον εὐτρεπῆ καὶ εὔκολον θήραν.

---

16 Babr. 44 par. 36 tetr. I 11 Av. 18 Synt. 13 cf. infra

---

15 3 *ἡ* om. B | *ἐπιθύμει* B *ἐπιθυμεῖ* H || 4 *κέρως* AL *κέρας* B || 5 *προσαφελεῖν καὶ τὰ ὦτα* B | *τὸν νῶτον* A || 6 *καμήλου* B
16 4 *ἀνελεῖν* B || 5 *ἀλλήλους* AK, Nev. | *διαστήσας ἀπέκτεινε* B
321b 6 *τινα*] Kor. *τὴν* libri || 8 *εὐτρεπῆ* Jacobs *εὐπρεπῆ* libri

17. *ΜΥΘΟΣ Ο ΤΗΣ ΕΛΑΦΟΥ ΝΟΥΘΕΤΕΙΝ ΠΑΡΑΙΝΩΝ ΤΟΝ ΚΑΙ ΠΡΑΞΑΙ ΔΥΝΑΜΕΝΟΝ*

(Kor. 297 Halm 130 Crus. Babr. 156b)

322

ἔλαφον ἡ μήτηρ ἐνουθέτει ταῦτα λέγουσα· „κέρας, ὦ παῖ, παρὰ τῆς φύσεως εἴληφας, μεγέθει δὲ διενήνοχας σώματος· καὶ οὐκ οἶδα ὅ τι παθὼν ἀποδιδράσκεις ἐπιόντας τοὺς κύνας.“ ταῦτα ἦν, καὶ κυνῶν δρόμος ἠκούετο πόρρωθεν. ἡ δὲ μένειν τῷ παιδὶ παραινέσασα αὐτὴ τῆς φυγῆς προκατήρξατο.

παραινεῖν ἕτοιμον, ἃ ποιεῖν ἀπορώτερον.

18. *ΜΥΘΟΣ Ο ΤΟΥ ΕΛΑΦΟΥ ΠΑΡΑΙΝΩΝ ΤΗΝ ΠΕΙΡΑΝ ΑΝΑΜΕΝΕΙΝ ΕΙΣ ΚΡΙΣΙΝ*

(Kor. 181c) 76c cf. I p. 101

ἔλαφον τὸ θέρος ἐπὶ ναμάτων ἐκόμιζε χρείαν. ἀφικόμενος δὲ ⟨καὶ⟩ παραστὰς ἑαυτὸν ἐθεᾶτο τοῖς νάμασι καὶ τὸ μὲν κέρας τῆς πλοκῆς ἀπεθαύμαζε, κατῃτιᾶτο δὲ τῶν ποδῶν τὴν ἀσθένειαν. καὶ τὴν φύσιν κατ᾽ ἄμφω τιμῶντός τε καὶ κακίζοντος οἱ θηρῶντες προσῄεσαν. ὁ δὲ τοῖς μὲν κατηγορουμένοις διαφεύγει ποσί, τοῖς δὲ ἐπαινουμένοις ἁλίσκεται κέρασιν.

19. *ΜΥΘΟΣ Ο ΤΟΥ ΚΟΛΟΙΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΜΕΙΖΟΝΩΝ ΕΡΑΝ*

(Kor. 203b) 2c cf. I p. 4

ἀετὸς ἀρνίον ἁρπάσας ἐντεῦθεν ἐτρέφετο. κολοιὸς δέ τις ἑωρακὼς ἐνεχείρει τοῖς ἴσοις καὶ καταπτὰς ἐπὶ ποίμνην

---

17 Nic. 4 Babr. 156 19 Branc. 2

---

17 2 *τὰ καὶ πράττειν δυνάμενα* A ‖ 3 *τί ταῦτα, λέγουσα, κέρας μὲν ὦ παῖ* Nic. ‖ 6 *κυνὸς* A ‖ 7 *προκατήρχετο* Nic. ‖ 9 *οὕτω παραινεῖν* Nic. *πονεῖν* B | *ἄπυρον* A = *ἄπειρον*

18 1 *τῆς ἐλ.* AB ‖ 3 *νάματος* Huds. | *χρεία* K, Nev. ‖ 4 *καὶ* inser. Huds. ‖ 6 *τιμῶντος ὁμοῦ* A ‖ 7 pro *κακίζοντος* in B *θαυμάζοντος* legitur | *προήεσαν* A ‖ epimythium ne desit, ex titulo *τὴν πεῖραν ἀναμένειν εἰς κρίσιν* repetit H.

19 4 *ἐπεχείρει* B Branc.

τῶν κριῶν λαβεῖν ἐπειρᾶτο τὸν μέγιστον. καὶ περιπαρεὶς τοῖς ἐρίοις τοὺς ὄνυχας ἑάλω μᾶλλον ἢ θηρᾶσαι δεδύνηται.

τὸ μεῖζον ἀεὶ τοῖς καταδεεστέροις καθέστηκε σφαλερόν.

20. *ΜΥΘΟΣ Ο ΤΗΣ ΑΛΩΠΕΚΟΣ ΠΑΡΑΙΝΩΝ ΜΗ ΒΛΕΠΕΙΝ ΤΑ ΜΕΙΖΟΝΑ*

(Kor. 298 Halm 41)

323

ἀλώπηξ λέοντι συνῆν ἐν ὑπηρέτου προσχήματι. καὶ ἡ μὲν ἄγρας ἐμήνυεν, ὁ δὲ ἐμπίπτων ἐλάμβανεν. ἑκατέρῳ τοίνυν πρὸς τὴν ἀξίαν διῃρεῖτο μερίς. ζηλοτυπήσασα δὲ ἡ ἀλώπηξ τῶν πλειόνων τὸν λέοντα θηρᾶν ἀντὶ τοῦ μηνύειν ᾑρεῖτο. καὶ πειρωμένη ποίμνης τι λαβεῖν κατέστη πρώτη τοῖς θηρῶσιν εἰς θήραμα.

ἄρχεσθαι μᾶλλον ἀσφαλῶς ἄμεινον ἢ κρατεῖν σφαλερῶς.

21. *ΜΥΘΟΣ Ο ΤΩΝ ΠΡΟΒΑΤΩΝ ΠΑΡΑΙΝΩΝ ΑΠΑΤΩΣΙ ΜΗ ΠΕΙΘΕΣΘΑΙ*

(Kor. 237 b) 158 b cf. I p. 185

οἱ λύκοι πρὸς τὰ πρόβατα· „τί δὲ ἡμῖν ἄσπονδος ἀεὶ καὶ ἀκήρυκτος πόλεμος; αἴτιοι δὲ οἱ κάκιστα ἀπολούμενοι κύνες, οἳ προσιόντας μὲν ἡμᾶς ὑλακτοῦσιν, οὐδὲν δὲ ἠδικηκότας συγκρούουσιν. ἀλλ' εἰ τούτους ἐκποδὼν στήσετε, σπονδαὶ ἐνθένδε καὶ καταλλαγαὶ καταστήσονται.“ εἶπον εἰς ἀπά-

---

21 Nic. 5

---

5 *καὶ πεπηγὼς τοῖς εἰρίοις* Branc. || 6 *ἤπερ θηρεῦσαι δεδύνητο* Branc.

20 8 *θηρῶσιν* suspectum — an *τοῖς θηρσίν*?

21 3 *πρόβατα παρακλήσεως λόγον ἀπέστειλαν* M | *τί δὴ* Kor. | *ἡμῖν πρὸς ὑμᾶς* M || 4 *ἀπολλύμενοι* AB *κάκιστ' ἀπολούμενοι* Nic. M || 5 *προσιόντες* B | *δὲ ἡμᾶς* LK, Nev. *ὑμᾶς* Nic. || 6 *στήσετε*] L Kor. *καταστήσετε* libri, Nic. *στήσετε δὲ* L || 7 *ἐνθάδε* B *ἐνθέδε* L | *εἶπον . . . ὑπήγετο* om. A *καὶ ταῦτ' εἶπον* M

την· τὰ δὲ ῥᾳδίως ὑπήγετο. καὶ οἱ μὲν κύνες ἐλήλαντο, αὐτὰ δὲ ἔρημα φυλακῆς διεφθείρετο.

ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὸν κίνδυνον.

22. *ΜΥΘΟΣ Ο ΤΗΣ ΕΛΑΙΑΣ ΚΑΙ ΤΗΣ ΣΥΚΗΣ ΣΩΦΡΟΝΕΙΝ ΠΑΡΑΙΝΩΝ ΤΗ ΝΕΟΤΗΤΙ*

(Kor. 299 Halm 124)

324

ἐλαία κατεγέλα συκῆς ὡς αὐτὴ μὲν ἀνθοῦσα πρὸς ἅπασαν ὥραν, συκῆς δὲ τὸ ἄνθος συμμεταβαλούσης ταῖς ὥραις. ταῦτ' ἦν, καὶ καταρρυεῖσα χιὼν τὴν μὲν ἐλαίαν κομῶσαν εὑροῦσα τοῖς θαλλοῖς ἐνιζάνουσα σὺν τῷ κάλλει καθάπαξ ταύτην διέφθειρεν, τὴν δὲ φύλλων εὑροῦσα γυμνὴν οὐδὲν ἠδίκει πρὸς γῆν ὑπορρέουσα.

κάλλος μὴ σωφρονοῦν τοῖς κεκτημένοις καθέστηκεν ὄνειδος.

23. *ΜΥΘΟΣ Ο ΤΩΝ ΛΑΓΩΩΝ ΤΟΥΣ ΑΤΥΧΟΥΝΤΑΣ ΨΥΧΑΓΩΓΩΝ*

(Kor. 57c) 143d cf. I p. 167

θάνατον ἑαυτῶν κατεψηφίζοντο λαγωοί. καὶ τελευτᾶν μὲν ἐδόκει, τὸ δὲ ὅποι ζητεῖν ὑπελείπετο. λίμνην δὲ τῷ θανάτῳ προσήκοντα χῶρον ὁρίσαντες ἔθεον ἅπαντες ὡς παρὰ ταύτην ἀποθανούμενοι. προσιόντων δὲ τὸν κτύπον

---

22 Nic. 6 Synt. 31 cf. infra; 71 *δρῦς καὶ κάλαμος* I p. 96 et 239 *δένδρα καὶ κάλαμοι* supra p. 59 **23** Nic. 10

---

8 *κύνες οὕτως* A || **10** *οὕτως ὁ τοῖς ἐχθροῖς* M | *ὑποστήσεται* BM

22 **2** *τὴν νεότητα* B || **3** *κατὰ πᾶσαν ὥραν* M || **4** *συμμεταβαλούσῃ* Nev. *συγκαταβαλλούσης* A *συμμεταβαλούσης τὸ ἄ. ταῖς ὥρ.* Nic., M. || **5** *ταῦτ' ἦν καὶ*] Nic., M *ἦν καταρ.* A *καὶ καταρ.* K *αἷς καταρ.* (dittographia ex *ὥραις* ortum) rel. || **6** *θαλλοῖς*] Nic., M *θάλλοις* A *θαλοῖς* rel. *κομῶσιν* H *κομῶσι* L || **7** *εὑροῦσαν* M || **8** *πρὸς τὴν συκῆν ὑπορ.* Nic. || **9** *οὕτω κάλλος μὴ σ. τ. κεκτ. ὀλέθριος γίνεται* M *τοῖς κεκτ. ὀλέθριον* Nic.

23 **3** *ἑαυτοῖς* B || **4** *ὅπῃ* BL | *λίμνην δὴ* Nev. || **6** *περὶ ταύτην* Nic. *ἐπὶ* M | pro *ἀποθανούμενοι* — *ἀποβιώσειεν* M *-σοιεν* M_2

οὐκ ἤνεγκαν οἱ παρὰ τὰς ὄχθας διατρίβοντες βάτραχοι, τοὺς δὲ τῆς λίμνης μυχοὺς κατελάμβανον. ἃ δὴ πρεσβύτης ἑωρακὼς λαγωός· „λελύσθω,“ ἔφη, „τοῦ θανάτου ἡ ψῆφος· πεφήνασι γὰρ ἡμῶν ἀνανδρειότεροι.“

ψυχαγωγοῦσι τοὺς ἀτυχήσαντας οἱ μᾶλλον κακοπραγήσαντες.

24. *ΜΥΘΟΣ Ο ΤΟΥ ΒΑΤΡΑΧΟΥ ΚΡΙΝΕΙΝ ΠΡΟ ΤΟΥ ΤΕΛΟΥΣ ΤΟΝ ΥΠΙΣΧΝΟΥΜΕΝΟΝ*

(Kor. 300 Halm 78c) 287b cf. supra p. 101

ὁ βάτραχος τῆς τῶν ἰατρῶν κατηλαζονεύετο τέχνης πάντα μὲν εἰδέναι φάρμακα γῆς ὑπισχνούμενος, πᾶσι δὲ μόνος εἰς ὑγείαν ἀρκέσειν. καὶ παρεστῶσα τοῖς λόγοις ἀλώπηξ τὸ ψεῦδος ἀπὸ τοῦ χρώματος ἤλεγχε· „τί δῆτα“ λέγουσα „νόσου μὲν τοὺς ἄλλους ἐλευθεροῖς, νόσου δὲ φέρεις ἐπὶ τῆς ὄψεως σύμβολον;“ ἀλαζονεία τὸν ἔλεγχον εὕρατο.

25. *ΜΥΘΟΣ Ο ΤΟΥ ΛΥΚΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΦΑΥΛΟΥΣ ΕΥΕΡΓΕΤΕΙΝ*

(Kor. 144b) 161b cf. I p. 187

λύκῳ περιπείρεται ὀστέον καὶ ἐζήτει τὸν ἰασόμενον. ἑκάστου δὲ τὴν πρὸς αὐτὸν ἴασιν φεύγοντος μόνη τῶν ἄλλων ἐπὶ ῥητοῖς ὑπέσχετο ποιήσειν ἡ γέρανος καὶ καθεῖσα τὴν κεφαλὴν ἐξαιρεῖται τοῦ πάθους τὸν λύκον. καὶ προσαιτου-

---

24 Nic. 7

---

7 *περὶ* Nic. || 8 *καὶ τοὺς τῆς λίμνης μυχοὺς ἅπαντες* M *ἅπαντες* etiam Nic. | *ἃ δὴ*] M *ἃ δὲ* Nic. *καὶ δὴ* rel. || 9 *λαλείσθω* Nicolai codex, corr. Walz *λέλυσο* A *ἀκυρούσθω ψῆφος θανάτου* M || 11 *ἀτυχοῦντας* — cf. 1 — Nic., M

24 1 *τοῦ βατράχου* A *τῶν βατράχων* rel. | *τοῦ κέρδους* AL || 3 *ὁ* om. A || 5 *ἀρέσειν* HK *ἀρέσκειν* K[2] *ἀρκεῖν* A || 7 *αὐτὸς τοὺς ἄλ.* Nic. || 8 *σύμβολα* Nic. | *ἀλαζονείᾳ* Nev.

25 3 *λ. περιπ. τῷ φάρυγγι* A, omisso *ὀστέον* || 5 *ἐπὶ μισθῷ* A | *καὶ καθεῖσα*] scripsi *καὶ θεῖσα* libri

μένη μισθὸν τῆς ἰάσεως ἀρκοῦντα μισθὸν ὁ λύκος ἔλεγεν τὴν κεφαλὴν ἔχειν ἀκέραιον.

πονηροὶ σωθέντες ἀδικοῦσι τοὺς σώσαντας.

26. *ΜΥΘΟΣ Ο ΤΩΝ ΜΥΩΝ ΠΑΡΑΙΝΩΝ ΣΤΕΡΓΕΙΝ ΤΑ ΜΕΤΡΙΑ*

(Kor. 301 Halm 297) 315b cf. supra p. 129

μῦς ἀρουραῖος ἀστικῷ γίνεται φίλος μυὶ καὶ τὴν φιλίαν πιστούμενος πρῶτος εἰς ἀγρὸν τὸν ἀστικὸν παρελάμβανε καὶ ξενίαν αὐτῷ παρετίθει καὶ τράπεζαν, ἃ φέρειν οἶδε τοῖς ἐνοικοῦσιν ἀγρός. ἀμειβόμενος δὲ τὴν ξενίαν ὁ ἀστικὸς εἰς ἄστυ τὸν ἀρουραῖον ἐκόμιζε καὶ εἰς ἀνδρὸς εὐπόρου παρελάμβανεν οἶκον. ὡς δὲ τῶν ὄντων ἤδη προσάπτεσθαι ἤθελον, προσιών τις ἀνέκοπτε. καὶ τοσαυτάκις τῆς ἐν τοῖς ὄψοις ἀπηλαύνοντο πείρας, ὁσάκις ἐπειρῶντο μεταλαμβάνειν. καὶ τελευταῖον ὁ ἀρουραῖος· „ἄπειμι," ἔφη, „τὴν ἐν ἀγροῖς προτιμῶν μετριότητα τῆς ἐν ἄστει τρυφῆς."

οὕτως οἱ μέτρια κτώμενοι τῶν πλουτούντων εἰσὶν αἱρετώτεροι.

27. *ΜΥΘΟΣ Ο ΤΩΝ ΜΕΛΙΣΣΩΝ ΚΑΙ ΤΟΥ ΠΟΙΜΕΝΟΣ ΠΑΡΑΙΝΩΝ ΠΟΝΗΡΟΙΣ ΜΗ ΤΙΘΕΣΘΑΙ ΚΕΡΔΕΣΙΝ*

(Kor. 302 Halm 288)

325

ἐν κοίλῃ δρυὶ μέλι κατειργάζοντο μέλισσαι. ποιμὴν δέ τις αὐταῖς ἐργαζομέναις περιτυχὼν ἀφελέσθαι προῃρεῖτο τοῦ μέλιτος. αἱ δὲ ἄλλοθεν ἄλλαι περιιπτάμεναι αὐτὸν ὤθουν

---

27 producta e proverbio *μηδὲ μέλι μηδὲ μελίσσας* Diog. VI 58

---

7 *ἔλεγεν ἔχειν τ. κ. ἀπὸ λύκου στόματος ἀκεραίαν* A || 9 *σωθέντας* A

26 5 *ἀγρός*] Kor. *ἀγρόν* codices || 7 *ἤδη ὥρμα προσάπτεσθαι* A Sb cf. Babr. 108, 19 *ὡς ... παρωρμήθη* || 8 *προσελθών* B || 12 *τὰ μέτρια* B | *καὶ τῶν* A

27 2 an *πείθεσθαι*? || 5 *ἄλλοθεν ἄλλαι*] Chr. Schneider *ἄλλοτε ἄλλως* B *ἀλλ' ὃ ἦν ἄλλως* rel. (*ἀλλ' οὗ ἦν* in margine K[2]) *ἄλλοθεν ἄλλως* Fu *ἄλλοθεν ἄλλη* Kor.

τοῖς κέντροις. καὶ τελευταῖον ὁ ποιμὴν „ἄπειμι,“ ἔφη, „μηδὲν δεόμενος μέλιτος, εἰ δεῖ μελίσσαις περιτυχεῖν.“

τὰ κακὰ κέρδη τοῖς διώκουσι κίνδυνος.

28. *ΜΥΘΟΣ Ο ΤΟΥ ΑΕΤΟΥ ΚΑΙ ΤΟΥ ΔΡΑΚΟΝΤΟΣ ΠΑΡΑΙΝΩΝ ΑΡΧΕΣΘΑΙ ΧΑΡΙΤΟΣ*

(Kor. 303 Halm 120)

326

δράκων καὶ ἀετὸς συμπλακέντες ἀλλήλοις ἐμάχοντο. καὶ ὁ μὲν δράκων εἶχε τὸν ἀετὸν συλλαβών. γεωργὸς δὲ ἰδὼν λύσας τὴν πλοκὴν τοῦ δράκοντος αὐτόνομον ἀφῆκε τὸν ἀετόν. χαλεπήνας δὲ ἐπὶ τούτοις ὁ δράκων ἰὸν ἐπαφῆκε τῷ τοῦ σώσαντος πόματι. πιεῖν δὲ τοῦ γεωργοῦ πρὸς ἄγνοιαν μέλλοντος ὁ ἀετὸς καταπτὰς τῶν τοῦ γεωργοῦ χειρῶν ἐξαιρεῖται τὴν κύλικα.

τοὺς εὖ ποιοῦντας μένουσι χάριτες.

29. *ΜΥΘΟΣ Ο ΤΟΥ ΚΟΡΑΚΟΣ ΚΑΙ ΤΗΣ ΑΛΩΠΕΚΟΣ ΠΑΡΑΙΝΩΝ ΑΠΑΤΩΣΙ ΜΗ ΠΕΙΘΕΣΘΑΙ*

(Kor. 204c Halm 204b) 126d cf. I p. 152

τῷ κόρακι τὸ θήραμα τυρὸς ἦν καὶ ἐν μετεώρῳ φέρων ἐκάθητο. ἰδοῦσα δὲ ἀλώπηξ ἀπάτῃ περιενόστει τὸν κόρακα· „τί ταῦτα;“ λέγουσα, „μετριότητι μέν, ὦ κόραξ, διενήνοχας σώματος, χροιὰν δὲ φέρεις τῇ τῶν ὀρνίθων ἡγεμονίᾳ προσήκουσαν· εἰ δὲ καὶ φωνὴ παρῆν, ἅπασαν ⟨ἂν⟩ εἶχες τὴν τῶν ὀρνίθων ἀρχήν.“ εἶπε πρὸς ἀπάτην. ὁ δὲ ὑπαχθεὶς τὸν

---

28 Ael. n. an. XVII 37 Tzetzes chil. IV 302—312 29 Nic. 8

---

6 *τελευτὴν* A || 8 *καλὰ* ALKNev.

28 6 *ἐπαφῆκε*] ABH *ἀφῆκε* rel. edit. || 7 *τούτω* A || 8 *ἄγνοιαν*] ABH *ἄνοιαν* rel. || 9 *ἐξελεῖται* B

29 3 *τὸ* om. A || 4 *καθῆστο* Nic. M | *δὲ* om. B || 5 *ὁ κόραξ διενήνοχεν* HLK, Nev. Kimmedoncius qui pergit *χροιὰν δὲ ἔχει καὶ φέρει* quod probat Chr. Schn. *χρείαν* B *διενήνοχες* Kor. || 6 *ὀρνέων* AB | *προύχουσαν* HLK || 7 *καὶ φωνὴ*] A Nic. M *καὶ* om. rel. | *ἂν* ins. Kor. || 8 *εἶπε κτλ.*] Nic. M *ταῦτα δὲ εἶπε* rel. cf. supra 21, 7

τυρὸν ἐκβαλὼν ἀνέκραγε μέγιστον φωνῆς ἐπίδειξιν τὴν ἀφαίρεσιν ποιῶν τοῦ θηράματος. ἡ δὲ λαβοῦσα· „φωνὴ μέν,“ εἶπε, „κόραξ, προσῆν, ὁ δὲ νοῦς ἐπιλέλοιπεν.“

ἐχθροῖς πειθαρχῶν ὑποστήσῃ τὴν βλάβην.

30. *ΜΥΘΟΣ Ο ΤΗΣ ΣΥΟΣ ΕΚΑΣΤΩ ΔΙΔΟΥΣ ΤΑ ΟΙΚΕΙΑ ΜΑΘΕΙΝ*

(Kor. 176b) 87b cf. I p. 113

ἐξ ἀγροῦ τις ἤγρευσε σῦν, αἶγα καὶ πρόβατον· ὄνος δὲ πάντα ἦγεν εἰς ἄστυ. καὶ τὰ μὲν ἄλλα καθῆστο σιγῇ, μόνη δὲ ἡ ὗς μεγέθει βοῆς παρηνώχλει τὸν ἄγοντα. καὶ οὗτος πρὸς αὐτὴν „τί δῆτα,“ ἔφη, „κομιδὴν ἥσυχον ἅμα τοῖς ἄλλοις οὐ ποιῇ;“ „ὅτι γάλακτος μὲν ἕνεκεν αἴξ, ἐρίων δὲ χάριν ἄγεται πρόβατον, ἐγὼ δὲ σφαγῆς“ προσεῖπεν ἡ σῦς.

οἶδε τὴν πρόφασιν ἕκαστος τὴν ἰδίαν.

31. *ΜΥΘΟΣ Ο ΤΟΥ ΚΟΛΟΙΟΥ ΠΑΡΑΙΝΩΝ ΤΗΝ ΠΛΕΟΝΕΞΙΑΝ ΜΙΣΕΙΝ*

(Kor. 188c Halm 200) 103d cf. I p. 129

κάλλους ἦν ἀγὼν καὶ παρὰ τῷ Διὶ κριθησόμενοι πάντες οἱ ὄρνεις ἐφοίτων Ἑρμοῦ τὴν κυρίαν ὁρίζοντος. ποταμοὺς τε καὶ λίμνας ἅπαντες κατελάμβανον τὰ μὲν φαῦλα τῶν πτερῶν ἀποβάλλοντες, τὰ δὲ κρείττω φαιδρύνοντες. κολοιὸς δὲ οὐδὲν εὐπρεπὲς ἔχων ἀπὸ τῆς φύσεως, ἃ τῶν ἄλλων ἐξέπιπτε, ταῦτα οἰκεῖον συνέθηκε κόσμον. γλαῦξ δὲ μόνη ἐπιγνοῦσα τὸ ἑαυτῆς ἀφῃρεῖτο τὸν κολοιὸν καὶ τὰ ἄλλα

---

30 Nic. 9

---

10 *λαβοῦσα ἤσθιεν εἶτα λέγει* M *φωνὴ μὲν ὦ κόραξ εἶπε* Nic. M || 12 *τῆς βλάβης* B

30 2 *ἦγε* Nic. || 3 *ταῦτα* pro *πάντα* B | *καθῆστο*] A Nic. *καθίστη* rel. || 4 *σῦς* B | *μεγάλῃ φωνῇ* Nic. | *παρηνόχλει* B *φωνῆς παρηνόκλα* cod. Hudsonis | *καὶ ὃς* A *καὶ ὁ ὄνος* Nic. || 5 *τοῖς λοιποῖς* Nic. || 6 *ποιῇ*] *ἄγει* A | *ἕνεκεν* om. B || 7 *αἴρεται* B | *προσεῖπεν ἡ σῦς* om. Nic. || 8 *οἶδεν ὁ στένων τὴν πρόφασιν* Nic.

31 4 *ὄρνιθες* B | *Ἑρμοῦ δὲ τὴν . . . ποταμοὺς δὲ* (*τε* A) *καὶ* AB || 9 *τοῦ κολοιοῦ* B

πράττειν ⟨οὕτως⟩ ἀνέπειθεν. ἀφαιρεθεὶς δὲ τὰ ⟨πτερὰ⟩ παρὰ πάντων ὁ κολοιὸς γυμνὸς εἰς τὴν Διὸς ἀφίκετο κρίσιν. κόσμος ἐπείσακτος αἰσχύνη τοῖς ἔχουσιν.

32. *ΜΥΘΟΣ Ο ΤΟΥ ΤΟΞΟΤΟΥ ΛΕΓΩΝ ΠΛΕΙΟΝΑ ΤΗΝ ΕΠΙΒΟΥΛΗΝ ΤΩΝ ΟΙΚΕΙΩΝ ΑΝΔΡΩΝ*

(Kor. 133b Halm 4b) 273b cf. supra p. 91

τοξότης ἀετοῦ κατεστοχάζετο καὶ βέλος ἀφεὶς εἷλε τὸν ἀετόν. ἐπιστραφεὶς δὲ ὁ ἀετὸς καὶ τὸ βέλος ἰδὼν ἐπτερωμένον τοῖς οἰκείοις πτεροῖς ἔφη· „τὰ παρ' αὐτῶν τοῖς πολλοῖς πραγμάτων οἰκείων ἐπιβουλή.“

33. *ΜΥΘΟΣ Ο ΤΟΥ ΑΛΙΕΩΣ ΑΥΛΗΤΟΥ ΠΑΡΑΙΝΩΝ ΤΑΙΣ ΤΕΧΝΑΙΣ ΠΡΟΣΦΟΡΩΣ ΧΡΗΣΘΑΙ*

(Kor. 130c) 11d cf. I p. 17

ἀνὴρ ἁλιεὺς ὁμοῦ καὶ αὐλεῖν ἐπιστάμενος τοὺς αὐλοὺς λαβὼν καὶ τὰ δίκτυα παρὰ τὴν θάλασσαν οὐδὲν εἶχε λαβεῖν. ὡς δὲ τοῖς αὐλοῖς ἠπόρει θηρᾶν, τούτους ἀφεὶς ἐπὶ τὸ δίκτυον ᾔει καὶ χρώμενος εἷλεν, οὓς αὐλῶν οὐκ ἐθήρασεν. γέρας αἱ τέχναι τοῖς προσήκουσι πράγμασι νέμουσιν.

34. *ΜΥΘΟΣ Ο ΤΟΥ ΛΕΟΝΤΟΣ ΚΑΙ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΠΑΡΑΙΝΩΝ ΔΙΚΑΙΟΣΥΝΗΝ ΑΓΑΠΑΝ ΚΑΙ ΜΗ ΜΕΓΑΛΑΥΧΕΙΝ*

(Kor. 219b Halm 63b) 264c cf. supra p. 84

εἰς ἔριν ἀλλήλοις ἀνήρ τε καὶ λέων προῆλθον· καὶ ὁ μὲν ἀνὴρ τὸ τῶν ἀνθρώπων κρεῖττον ἀπέφαινε γένος, ὁ δὲ

---

34 Rom. XCI Dos. 15 supra p. 128

---

10 *οὕτως* inser. Kor., obloquitur Halm praef. p. IX | *τὰ ἄλλα σπαράττειν* St. comment. Hor. 178 | *πτερὰ* inser. St. || **12** *κόσμος*] B *νόμος* rel.

32 **1** *τοὺς ἐπιβουλευτῶν* B || 5 *αὐτῶν*] Char. *αὐτοῦ . . . πραγμάτων* A *αὐτοῦ . . . πράγματα* rel.

33 **2** *χρήσασθαι* A || **3** *ἁλιέως καί τοῦ* libri || **5** *θηρᾶν*] AB *θηρὰν* L *θήραν* rel. || **6** *οὓς*] ABL *ἃς* reliqui || **7** *πέρας* ASb

34 **2** *μεγάλα αὐχεῖν* BL || **3** *προσῆλθον* cod. Huds. || **4** *ἀπέφαινε*] A *ἀπέφηνε* rel.

τοῖς λέουσιν ἐδίδου τὸ πλέον. ἁμιλλωμένων δὲ περὶ τοῦ κρείττονος πίστιν ὁ ἀνὴρ ἐξ εἰκόνος ἐλάμβανεν, ἐν ᾗ λέων ἐγέγλυπτο ἐξ ἀνδρὸς ἁλισκόμενος. καὶ πρὸς ἐκεῖνον ὁ λέων· „εἰ δὲ καὶ παρ' ἡμῖν ἦσαν γλύφοντες, πλείους ἂν εἶδες ἑαλωκότας ἐκ λεόντων ἀνθρώπους ἢ παρὰ ἀνθρώπων λέοντας."

ὁ τοῖς ἴσοις δικαίως χρώμενος οὐκ ἀπορήσει τῆς νίκης.

35. *ΜΥΘΟΣ Ο ΤΟΥ ΚΥΝΟΣ ΠΑΡΑΙΝΩΝ ΑΠΛΗΣΤΙΑΝ ΦΕΥΓΕΙΝ*

(Kor. 209f) 136f cf. I p. 161

κρέας ἁρπάσας τις κύων παρ' αὐτὴν διῄει τὴν ὄχθην τινὸς ποταμοῦ. καὶ θεωρῶν τὴν σκιὰν διπλασίαν τοῖς νάμασιν, ὃ μὲν εἶχεν ἀφῆκε· πειρώμενος δὲ λαβεῖν τὸ μεῖζον συνδιαμαρτάνει μετὰ τοῦ μετρίου τοῦ πλείονος.

[*τὸ ἐν χερσὶ μικρὸν τοῦ ἐλπιζομένου μείζονος κρεῖσσον.*]

36. *ΜΥΘΟΣ Ο ΤΗΣ ΔΡΥΟΣ ΚΑΙ ΤΟΥ ΚΑΛΑΜΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΙΣΧΥΙ ΘΑΡΡΕΙΝ*

(Kor. 143c) 71b cf. I p. 96

εἰς ἔριν δρυὶ καθίστατο κάλαμος. ἡ μὲν γὰρ αὐτὴν τῆς ἰσχύος ἐθαύμαζε καὶ πρὸς τὴν τῶν ἀνέμων ἀντέχειν ἠλαζονεύετο μάχην, τῆς δὲ ἀσθενείας κατῃτιᾶτο τὸν κάλαμον εἴκειν ἅπασι πεφυκότα τοῖς πνεύμασι. ταύτῃ τοι· καὶ πνεύσαντος ἀνέμου σφοδρότερον ἡ μὲν πρόρριζος ἀνθεστῶσα κατέπεσεν· ὁ δὲ ἀκέραιος κατακλινόμενος ἔμεινε.

ὁ καιροῖς ὑπείκων οὐκ ἐκπεσεῖται τοῦ σῴζεσθαι.

---

7 *ἐγέγραπτο* B || 8 *δὲ* delet Kor. | *γλύφοντες*] ABK *οἱ γλύφοντες* rel.

35 2 *κυνῶν* H cod. Huds. K, Nev. | *διήκει* B || 5 *μέτρου* L cod. Huds. || epimythium addunt AB, omittunt rel.

36 1 *τοῦ δρυὸς* B | *καὶ* om. A || 3 *ἑαυτὴν τῇ ἰσχύι* B || 4 *τῶν* om. L || 5 *ἐν τοσούτῳ δὲ* A || 7 *σφοδροτέρου* B | *πρόρριζον* B || 8 *ἔμενεν* B || 9 *οὐ πείσεται* A (om. τοῦ σ.)

37. *ΜΥΘΟΣ ⟨Ο⟩ ΤΗΣ ΑΜΠΕΛΟΥ*

(Kor. 280c Halm 404b)

327

ἄμπελος ἐκόμα βότρυσι, παραπλήσιον δὲ ἦν τοῖς καρποῖς καὶ τὸ βλάστημα. τράγος δέ τις ὕβρει χρώμενος πλείονι τῆς ἀμπέλου παρέτρωγε καὶ διελυμαίνετο προσιὼν τοῖς βλαστήμασιν. ἡ δὲ πρὸς αὐτὸν εἶπεν· „μένει σε τῆς ὕβρεως δίκη· σὺ μὲν γὰρ ἔσῃ οὐ μακρὰν ὕστερον ἱερεῖον τοῖς θύμασιν, ἐγὼ δὲ παρ' ἐμαυτῆς ἐπισπείσω τὸν οἶνον."

ἃ δρᾷ τις καὶ πείσεται.

38. *ΜΥΘΟΣ Ο ΤΟΥ ΓΕΩΡΓΟΥ ΚΑΙ ΤΗΣ ΑΛΩΠΕΚΟΣ*

(Kor. 304 Halm 61b)

328

γεωργῷ πονηρῷ φθόνον ἐνεποίει τὸ τοῦ γείτονος αὐξανόμενον λήιον καὶ διαφθείρειν τοὺς ἐκείνου πόνους ἐζήτει. καὶ θηράσας ἀλώπεκα προσάψας δαλὸν πρὸς τὸ τοῦ γείτονος ἀφίησι λήιον. ἡ δὲ καθ' ἣν ἀφεῖτο μὴ παριοῦσα βουλομένου τοῦ δαίμονος τὸ τοῦ πέμψαντος ἐνέπρησε λήιον.

πονηροὶ γείτονες πρῶτοι τῆς ἑτέρων μετέχουσι βλάβης.

---

37 Babr. 181 („usus est celebri epigrammate 1106 K. AP IX 75. 99 (Leon.)" Crus.) tetr. I 7 Verg. georg. II 380 cum Servii ann. Ov. fast. I 354 met. XV 114 Varro rust. I 2, 19 Mart. III 24, 2 XIII 39 schol. Arist. Plut. 1130 Suet. Dom. 14 38 Babr. 11 Ovid. fast. IV 701sq. Bibl. sacr. iud. XV 4. 5

---

37 1 *ὁ* om. libri || 2 *τοῖς καρποῖς* AB || 3 *πλείονα* Nev. || 4 an *περιέτρωγε?* || 6 *γὰρ* om. H. | *οὐ μακρὰν ὕ.*] Bölte *ἔσῃ μικρὸν* A *ὕστερον οὐ μ.* B *γὰρ οὐ μικρὸν* rel. *ἔσῃ οὐ μικρὸν* Kimmed. *οὐ* delent edit. || 7 *ἐπισπείσω*] Kor. *ἐντισπείσω* libri

38 2 *ἐνεποίει*] cod. Huds., edit. *ἐποίει* A *ἐμποίει* vel *ἐμποιεῖ* rel. || 4 *θηρεύσας* A || 5 *καθ' ἣν*] A *καθ' ἣ* B *καθ' ἧς* rel. an *καθ' ἣν μὲν ἀφεῖτο παριοῦσα* deleto *μὴ*? *παριοῦσα*] Kor. *ἀπιοῦσα* A *παριεῖσα* vel *παρεῖσα* rel. || 7 *πρῶτον* HKNev. | *τῶν ἑτέρων* B

39. *ΜΥΘΟΣ Ο ΤΗΣ ΤΡΟΦΟΥ ΚΑΙ ΤΟΥ ΛΥΚΟΥ ΠΑΡΑΙΝΩΝ ΜΗ ΕΛΠΙΔΙ ΜΕΝΕΙΝ ΠΡΟ ΕΚΒΑΣΕΩΣ*

(Kor. 138 b) 163 d cf. I p. 188

τηθὴν ἐλύπει δακρῦον παιδίον. ὡς δὲ ἐνοχλούμενον οὐκ ἐπαύετο, ἠπείλει λύκῳ παραβαλεῖν, εἰ μὴ παύσαιτο. λύκος δέ τις παρατυχὼν ἔμενε τὸν λόγον ἐκβῆναι πρὸς ἔργον. καὶ τὸ μὲν παιδίον ἐδεδώκει πρὸς ὕπνον. κενὸς δὲ ὁ λύκος ἀπεχώρει θήρας τῆς τε παρούσης καὶ τῆς ἀλλαχόθεν ἐλπιζομένης γενήσεσθαι.

ἄπορον ἐλπὶς μὴ προσλαβοῦσα τὴν ἔκβασιν.

40. *ΜΥΘΟΣ Ο ΤΟΥ ΚΟΡΑΚΟΣ ΠΑΡΑΙΝΩΝ ΤΗ ΦΥΣΕΙ [ΜΗ] ΠΕΙΘΑΡΧΕΙΝ*

(Kor. 305 Halm 206)

329

ἑωρακὼς τὸν κύκνον ὁ κόραξ ἐζήλου τοῦ χρώματος. οἰηθεὶς δὲ εἶναι τοιοῦτον, οἷς ἀπελούετο, τοὺς βωμοὺς ἐκλιπών, ὅθεν ἐτρέφετο, λίμναις καὶ ποταμοῖς ἐνδιέτριβε. καὶ τὸ μὲν ⟨χρῶμα τὸ⟩ σῶμα φαιδρύνων οὐκ ἤμειβεν, τροφῆς δὲ ἀπορῶν διεφθείρετο.

φύσιν οὐκ οἶδε μεταβάλλειν ἡ δίαιτα.

---

39 1 *λύκου τε* A (om. *καὶ*) || 3 *τι μὴν* pro *τηθὴν* A || 4 *παύσετοι* (= *ται*) B || 7 *ἐλπιζομένην* A

40 1 *μὴ* om. A || 4 an *ἀπελαύετο*? || 6 *χρῶμα τὸ*] inseruit Zaggogianes *Ἀθηνᾶ* II 265

e fabulis his rhetoricis, quae ad easdem scholae leges conformatae sunt atque fabulae Augustanae, ne quid desideretur, addimus fabulas duas Themistii rhetoris

1. *ΠΕΙΘΩ ΚΑΙ ΒΙΑ*

(or. XVI 208a) 46b cf. I p. 63

πεποίηται καὶ Αἰσώπῳ τῷ μυθοποιῷ ἅμιλλά τις Πειθοῦς καὶ Βίας καὶ ἀνύει τι μᾶλλον ἡ Πειθὼ τῆς Βίας ἐν τῷ μύθῳ καὶ γυμνοῖ πρόσθεν ὁ ἥλιος τῶν λάβρων πνευμάτων. οὕτως τέ φασι καὶ τοὺς γίγαντας ποιηταὶ ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς θεοὺς τῷ μὲν Ἄρει μέχρι παντὸς ἀντισχεῖν, ὑπὸ δὲ τοῦ Ἑρμοῦ καὶ τῆς ῥάβδου κατακοιμηθῆναι.

2. *ΠΗΡΑΙ ΔΥΟ*

(or. XXI 262b) 229b cf. supra p. 51

σοφὸς γὰρ ἦν Αἴσωπος ὁ μυθοποιός, ὅς ἔφη τοὺς ἀνθρώπους δύο πήρας ἕκαστον φέρειν, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν. γέμειν δὲ κακῶν ἑκατέραν, ἀλλὰ τὴν μὲν ἔμπροσθεν τῶν ἀλλοτρίων, τὴν δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἐξ αὐτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

Quantum ab hac norma Byzantini rhetores recesserint, qui florido magis studebant generi dicendi et fabularum popularium imitabantur loquacitatem, duo narrationes sint documento septimo p. Ch. n. saeculo conscriptae. Fabulas has e Theophylacti Simocatti epistulis excerptas hanc quoque ob causam inserendas putavi, quod Korais, qui omnes quae tum notae erant fabulas conquirebat, has praetermisit.

Θεοφυλάκτου σχολαστικοῦ τοῦ Σιμμοκάττου μῦθοι

1. *ΚΟΛΟΙΟΣ ΚΑΙ ΟΡΝΕΑ*

(ep. 34 Boiss., Hercher epistol. p. 773) 103f cf. I p. 129

ἀφίκοντό ποτε πρὸς τὸν Δία τὰ ὄρνεα καὶ τὸν Ὀλύμπιον ἐπρεσβεύοντο ἡγεμόνα παρασχεῖν αὐτοῖς — ἦν γὰρ ἀναρχία τοὺς ὄρνιθας τὸ λυποῦν καὶ μεγίστου τινὸς ἀγαθοῦ, τῆς ἡγεμονίας, ἐχήρευον καὶ πολλὴν διὰ τοῦτο τὴν ἀκοσμίαν ἐκέκτηντο. ἐπένευσε τοίνυν ὁ Ζεὺς καὶ γέγονεν ἔργον τὸ βούλημα καὶ δωρεῖται δῶρον τοῖς ἱκετεύουσι θαυμαστόν· βασιλέως γὰρ ἦν ἀξίωμα τὸ διδόμενον. προσέταττε δῆτα τοῖς ὄρνεσιν ἐπὶ λίμνας καὶ πηγὰς ἀφικέσθαι καὶ τὸν ἑαυτῶν ἀποσμήξασθαι ῥύπον καὶ τοῖς ὕδασι τὴν βάσανον τῆς ἡγεμονίας ἐπίστευσεν· ἦν γὰρ εὐπρέπεια παρὰ τῷ Διὶ τὸ τιμώμενον. ἐλούσαντο δῆτα οἱ ὄρνιθες· εἶτα πρὸς τὸν Δία παλινδρομοῦσιν εὐθὺς καὶ τὴν ἑαυτοῦ ἕκαστος εὐπρέπειαν ἐπεδείκνυτο. ὁ δὲ κολοιὸς τὴν οἰκείαν δεδιὼς ἀμορφίαν τὴν τῆς φύσεως δημιουργίαν ἐνόθευσεν ἀλλοτρίῳ κόσμῳ τὴν ἑαυτοῦ καλλωπίζων ἀπρέπειαν. ἀλλ' ἤλεγξε τὴν ἀμορφίαν ἡ γλαῦξ καὶ τὸν ἐπίπλαστον κόσμον ἐδείκνυε· τὸ γὰρ οἰκεῖον ἐπιγνοῦσα πτερὸν ὡς ἴδιον ἀφείλετο καὶ τοῖς ἄλλοις ὀρνέοις ἐδίδου παράδειγμα ἕκαστον ἀφαιρεῖσθαι τὸ ἴδιον. καὶ γέγονεν αὖθις ὁ κολοιὸς κολοιός.

ὁ μῦθος οὗτος, ὦ Χρύσιππε, καθάπερ ὕπαρ τὴν ἀλήθειαν φθέγγεται πολλὴν σωφροσύνην ἡμῖν διηγούμενος. οὕτω γὰρ καὶ οἱ ἄνθρωποι οὐδὲν τῶν τῇδε κεκτήμεθα ἴδιον· ἀλλὰ ζῶντες μὲν πρὸς ὀλίγον ἐπιπλάστῳ σεμνυνόμεθα κόσμῳ, τε-

---

1 4 *τῆς ἡγεμονίας*] Herch. e cod. Laurent. *ἡγεμονίας* Boiss.

θνηκότες δὲ ἀφῃρήμεθα ἅπερ οὐκ ἔστιν ἡμέτερα. ὑπερόρα τοίνυν καὶ χρημάτων καὶ σώματος, ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ, τῆς ψυχῆς. τὸ μὲν γὰρ ἀίδιον καὶ ἀθάνατον, τὰ δὲ θνητὰ καὶ πρὸς ὀλίγον ἐστὶν ἡμέτερα.

2. *ΜΥΡΜΗΞ ΚΑΙ ΤΕΤΤΙΞ*

(ep. 61 Boiss., Herch. p. 780) 114c cf. I p. 139

ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὁ τέττιξ ὀρχούμενος ὥρᾳ καύματος ἐκελάδει διάτορον καὶ τῆς ἑαυτοῦ ἁρμονίας αἰσθανόμενος ἐπετέρπετο. ὁ δὲ μύρμηξ παρῆν τοῖς θερίζουσι καὶ περὶ τὴν ἅλω τὰς διατριβὰς ἐπεποίητο καὶ τοῖς κόλποις τῆς γῆς τὴν ἑαυτοῦ τροφὴν ἐθησαύριζεν, οἷα προμηθέστερος ὢν ὁ μύρμηξ τοῦ τέττιγος. παρῳχήκει τοίνυν ἐκ τῶν βορείων ὁ ἥλιος, ἀπῆν τὸ μετόπωρον καὶ ὁ χειμὼν ἐπεφοίτα τῇ γῇ, ἡ δὲ θάλαττα τὰς γαληναίας σπονδὰς διελύσατο, οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ἠσπάζοντο, ὁ γεωργὸς ἐπὶ τὴν ἑαυτοῦ ἀλέαν κατέφευγε καὶ ὁ μύρμηξ ἐν τοῖς λαγόσι τῆς γῆς τοὺς πόνους εἶχεν ἑστίασιν ἐπιτήδειον. ἱκέτευε δὲ ὁ τέττιξ τὸν φιλόπονον μύρμηκα τῶν θησαυρῶν μετασχεῖν, ὁ δὲ τὸν μελῳδὸν τῶν ἑαυτοῦ θυρῶν ἀπεπέμπετο πολὺν αὐτῷ τῆς ἀργίας καταχέων τὸν γέλωτα καὶ τῶν θερινῶν ᾀσμάτων αὐτὸν ἀνεμίμνησκε. διόπερ ὁ μὲν εἶχε λιμὸν τὴν ᾠδήν, ὁ δὲ τοὺς πόνους τροφήν.

ἁρμόττει σοι ὁ μῦθος, Λυσίστρατε· ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέσσοντος ἐσθίων μάτην διπλάσια. κτλ.

---

2 9 *σωτῆρας ὄντας* e Parisino Boiss. || 14 *αὐτοῦ* Herch.

Συντίπα τοῦ φιλοσόφου ἐκ τῶν παραδειγματικῶν αὐτοῦ λόγων

1. *ΟΝΟΣ ΚΑΙ ΤΕΤΤΙΞ*

(Kor. 255b) 195b cf. supra p. 17

ὄνος ἀκούσας φωνῆς τέττιγος ἡδέως αὐτῇ ἐπετέρπετο καὶ τὸν τέττιγα ἐπηρώτα λέγων, τί ἄρα τρεφόμενος οὕτω γλυκεῖαν ἔχει τὴν φωνήν. ὁ δὲ τέττιξ τῷ ὄνῳ ἀντέφησεν· „ἡ ἐμὴ τροφὴ ἀήρ ἐστι καὶ δρόσος“· ὁ δὲ ὄνος τούτου ἀκούσας τοῦ ῥήματος ἐνόμισε μέθοδον εὑρηκέναι, δι' ἧς ὁμοίαν τῷ τέττιγι σχοίη φωνήν, καὶ τὸ στόμα εὐθὺς ἀνοίξας πρὸς τὸν ἀέρα κεχήνωτο ὡς δεξόμενος δῆθεν δρόσον εἰς διατροφήν, ἕως οὗ τῷ λιμῷ τέλειον διεφθάρη.

οὗτος ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα τὰ φυσικὰ τοῖς παρὰ φύσιν ἐξομοιοῦν καὶ τοῖς ἀδυνάτοις ἀφρόνως ἐπιχειρεῖν.

2. *ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΘΑΝΑΤΟΣ*

(Kor. 20d) 60e cf. I p. 83

ἄνθρωπός τις ἦν πένης, ὃς καὶ ξύλων γόμον ἐπὶ τῶν νώτων ἐβάσταζε. κατὰ δὲ τὴν ὁδοιπορίαν ἰλιγγιάσας ἐκαθέσθη καὶ τὸν γόμον κατέθετο καὶ τὸν Θάνατον οἰκτρῶς ἀνεκαλεῖτο λέγων· „ὦ Θάνατε“. αὐτίκα γοῦν ὁ Θάνατος ἔφθασε καὶ πρὸς αὐτὸν ἔφησε· „τίνος χάριν ἐκάλεσάς με;“ λέγει πρὸς αὐτὸν ὁ ἀνήρ· „ἵνα τὸν γόμον ἀπὸ τῆς γῆς συνεξάρῃς μοι.“

ὁ μῦθος δηλοῖ, ὅτι πάντες ἄνθρωποι φιλόζωοι τυγχάνουσιν, εἰ καὶ θλίψεσι καὶ ἀνάγκαις συνέχονται.

---

1 1 *φωνὴν* AB || 4 *τοῦτο* B *τοῦτον* M || 6 *τὴν φωνὴν* AM || 7 *κεχήνωτο* suspectum. *κέχηνε τέως?* Matth. | *δεξάμενος* B || 8 *τέλεον* Matth. Kor. — deest in MV

2 1 *ἐ. τ. ὤμων* Kor. || 3 *καὶ ... κατέθετο* om. B | *γόμον τῶν ξύλων* A || 5 *καὶ ... ἔφησε* om. B *ἔφη* MV || 9 *συνεχώρει* B

3. *ΧΕΛΙΔΩΝ ΚΑΙ ΚΟΡΑΞ*

(Kor. 76 b) 258 b cf. supra p. 79

χελιδὼν καὶ κόραξ περὶ κάλλους ἀλλήλοις ἐμάχοντο. φησὶν οὖν ὁ κόραξ τῇ χελιδόνι· „τὸ σὸν κάλλος ἐν μόνῳ τῷ ἔαρι καταφαίνεται, ἐν δὲ τῷ τοῦ χειμῶνος καιρῷ οὐ δύναται πρὸς τὸ ψῦχος ἀντισχεῖν, τὸ δὲ ἐμὸν σῶμα καὶ τῷ κρύει τοῦ χειμῶνος καὶ τῷ καύσωνι τοῦ θέρους γενναίως ἀνθίσταται."

ὁ μῦθος δηλοῖ, ὡς ὑγίεια καὶ ῥώμη σώματος κρείττων κάλλους καὶ ὡραιότητος πέφυκεν.

4. *ΠΟΤΑΜΟΙ ΚΑΙ ΘΑΛΑΣΣΑ*

(Kor. 371 Halm 380)

330

ποταμοὶ συνῆλθον ἐπὶ τὸ αὐτὸ καὶ τὴν θάλασσαν κατητιῶντο λέγοντες αὐτῇ· „διὰ τί ἡμᾶς εἰσερχομένους ἐν τοῖς ⟨σοῖς⟩ ὕδασι καὶ ὑπάρχοντας ποτίμους καὶ γλυκεῖς ἁλμυροὺς ἀπεργάζῃ καὶ ἀπότους;" ἡ δὲ θάλασσα ἰδοῦσα, ὅτι αὐτῆς καταμέμφονται, λέγει πρὸς αὐτούς· „μὴ ἔρχεσθε καὶ μὴ γίνεσθε ἁλμυροί."

οὗτος ὁ μῦθος παριστᾷ τοὺς ἀκαίρως αἰτιωμένους τινὰς καὶ παρ' αὐτῶν μᾶλλον ὠφελουμένους.

5. *ΓΑΛΗ*

(Kor. 81 b) 59 c cf. I p. 82

γαλῆ τις ἐν χαλκευτικῷ εἰσελήλυθεν ἐργαστηρίῳ κἀκεῖσε ῥῖνον εὑροῦσα σιδηροῦν τοῦτον ἱκανῶς ἀνέλειχεν, ὥστε □ *τὴν ἑαυτῆς ἀποτρίβεσθαι γλῶτταν καὶ δεινῶς ἐκδαμάσασθαι*

---

3 haec fabula omittitur in V

---

3 2 *καί φησιν* M ‖ 3 *φαίνεται* B ‖ 5 *τῷ* om. B ‖ 7 *δηλοῖ ὅτι* B | *ῥῶσις* M *κρείττω* AB

4 2 *ἐρχομένους* B ‖ 3 *σοῖς* inser. Kor. ‖ 4 *καὶ ἀπότους* om. B ‖ 5 *κατεμέμφοντο* B ‖ 7 *παρίστησι* MV | *τινὰς* om. BMV

καὶ ῥοὴν αἵματος ἀφιέναι. ἡ δὲ γαλῆ μᾶλλον ἐτέρπετο δοκοῦσα δῆθεν τὸν σίδηρον καταβιβρώσκειν, ἕως ἡ αὐτῆς γλῶττα παντελῶς ἐκδεδαπάνητο.

οὗτος ὁ μῦθος δηλοῖ, ὅτι πράττων τις ἔργον ἀλυσιτελὲς ὡς ἐπωφελὲς μᾶλλον καὶ τούτῳ δυσαποσπάστως προσκείμενος ἐς ὕστερον ὑπ' αὐτοῦ μεγάλως καταλυμαίνεται.

6. *ΘΗΡΕΥΤΗΣ ΚΑΙ ΛΥΚΟΣ*

(Kor. 372 Halm 165)

331

ἀνήρ τις θηρευτὴς λύκον θεασάμενος προσβάλλοντα τῇ ποίμνῃ καὶ πλεῖστα τῶν προβάτων, ὡς δυνατόν, διασπαράττοντα τοῦτον εὐμηχάνως θηρεύει καὶ τοὺς κύνας αὐτῷ ἐπαφίησι φθεγξάμενος [δὲ] πρὸς αὐτόν· ,,ὦ δειλότατον θηρίον, ποῦ σου ἡ προλαβοῦσα ἰσχύς, ὅτι τοῖς κυσὶν ὅλως ἀντιστῆναι οὐκ ἠδυνήθης;''

ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαστος ἐν τῇ ἰδίᾳ τέχνῃ καθέστηκε δόκιμος.

7. *ΑΛΕΚΤΟΡΕΣ*

(Kor. 145d) 266c cf. supra p. 85

δύο ἀλέκτορες ἀλλήλοις ἐμάχοντο. καὶ ὁ μὲν εἷς ἡττηθεὶς τόπῳ ἐν παραβύστῳ ἐκρύβη, ὁ δὲ ἕτερος τὴν νίκην ἀράμενος ἐφ' ὑψηλοῦ τινος ἕστηκε δωματίου τὰ μεγάλα φρυαττόμενος καὶ τῇ νίκῃ ἐγκαυχώμενος, ἕως ἀετὸς καταπτὰς τοῦτον ἐκεῖθεν ἀνήρπασεν.

ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα ἐπ' εὐτυχίᾳ καὶ δυνάμει μέγα φρονεῖν καὶ ἀφρόνως σοβαρεύεσθαι.

---

6 deest haec fabula in V   **7** deest in V

---

5 5 *ἐκβιβρώσκειν* MV | *ταύτης* MV || 6 *ἐκδεδαπάνηται* BV, Kor. || 7 *πράττων τις* — rel. desunt V || 9 *μεγάλως* om. M

6 1 *προσβαλόντα* M || 3 *ἀμηχάνως* AB || 4 *δὲ* del. Matth. || 5 *προσβαλοῦσα* Halm || 6 *δυνατῶν* AM || 8 *ἐστὶ* pro *καθέστηκε* M

7 2 *ἐν παραβύστῳ*] M *ἐνὶ εὐπαβύστω* (*ἐνὶ ἐν παραβ.* legit Matth.) A *τινὶ παραβ.* B *ἐν* del. Kor. | *ἐναπεκρήβη* B || 3 *τινὸς καὶ μεταιώρου* B || 6 *τινι* AB || 7 *μέγα* om. M

8. *ΠΕΡΙΣΤΕΡΑ*

(Kor. 120b) 217c cf. supra p. 39

περιστερά τις σφόδρα ἐδίψα καὶ ἐφ' ὕδατος ζήτησιν τῇδε κἀκεῖσε περιήρχετο. ἰδοῦσα δὲ ἔν τινι τοίχῳ ἐζωγραφημένην ὑδρίαν ἐδόκει ἀληθῶς ὁρᾶν ὕδατος σκεῦος μεστὸν καὶ ἐλθοῦσα τοῦ πιεῖν τῷ τοίχῳ προσέκρουσε καὶ αὐτίκα τοῦ ζῆν ἀπορρήγνυται. ὅτε δὲ πρὸς τελευταίαν ἐγγίσασα ἀναπνοὴν ἦν, ἐν ἑαυτῇ ἔλεγεν ὅτι „δυστυχὴς ὄντως ἐγὼ καὶ ἀθλία, ἐφ' ᾧ ὕδατος γλιχομένη μὴ θανάτου ἐμνημόνευον."

ὁ λόγος δηλοῖ, ὡς πολὺ κρείττων ἡ μακροθυμία τῆς ἀλογίστου σπουδῆς καὶ ταχυτῆτος.

9. *ΚΟΡΑΞ ΚΑΙ ΠΟΙΜΗΝ*

(Kor. 203d) 2c cf. I p. 4

κόραξ ἀετὸν ἐθεάσατο ἄρνα τῆς ποίμνης ἀφαρπάζοντα καὶ ἠθέλησε δῆθεν τοῦτον ἐκμιμήσασθαι. ἰδὼν δὲ ἐν τῇ ποίμνῃ κριὸν ἐπειράθη τοῦτον ἁρπάσαι. τῶν δὲ ὀνύχων αὐτοῦ τῷ τοῦ κριοῦ συσχεθέντων ἐρίῳ φθάσας ὁ ποιμὴν καὶ τοῦτον πλήξας ἀπέκτεινεν.

ὁ λόγος δηλοῖ, ὡς ἀνίσχυρος ἀνὴρ τῷ δυνατωτέρῳ ἑαυτοῦ ἀφομοιοῦσθαι πειρώμενος οὐ μόνον ἀσθενὴς εἶναι καὶ ἀφελὴς ἀπελέγχεται, ἀλλὰ καὶ κακῶς ἐξ ἀφροσύνης ἀποθνήσκει.

---

8 1 *σφοδρῶς* AB ‖ 2 *κἀκεῖ* A ‖ 5 *ἀπορρήγνυται*] scr. *ἀπὸ ῥήγνυται* B *ἀπερρύγνητο* A (*ἀπερρ.* Kor.) *ἀπεστέρητο* MV | *δὴ* Kor. | *ἐγγίσασα*] V *ἐγγίσας* Matth. edit. ‖ 6 *ἦν* om. ABKor. ‖ 7 *θάνατον* A ‖ 9 *τῆς ἀλογίας καὶ προπετείας* MV

9 2 *δῆθεν* om. MV ‖ 3 *ἀφαρπάσαι* V ‖ 6 *δυνατῷ ἑαυτὸν ἀφομοιῶσαι* AD ‖ 7 *ἀφελὴς* in *εὐτελὴς* mutandum censet Kor. ‖ 8 *κακίας* V

10. *ΛΑΓΩΟΣ ΚΑΙ ΑΛΩΠΗΞ*

(Kor. 4e p. 283) 9f cf. I p. 12

λαγωός τις ἐδίψα καὶ ἐν φρέατι κατῆλθε τοῦ ὕδωρ πιεῖν· ἀφ' οὗ καὶ ἡδέως πολὺ ἐπεπώκει. ὅτε δὲ ἐκεῖθεν ἀνελθεῖν ἔμελλεν, ἀμηχανίᾳ συνεσχέθη περὶ τὴν ἄνοδον καὶ τὰ μέγιστα ἠθύμει. ἀλώπηξ δὲ ἐλθοῦσα κἀκεῖσε τοῦτον εὑροῦσα ἔφη πρὸς αὐτόν· „μεγάλως ὄντως ἐσφάλης· πρότερον γὰρ ὤφειλες βουλεύσασθαι, πῶς ἔσται σοι τοῦ φρέατος ἀνελθεῖν καὶ εἶθ' οὕτως ἐν αὐτῷ κατελθεῖν."

ὁ μῦθος ἐλέγχει τοὺς αὐτοβούλως πράττοντας καὶ μὴ πρότερον συμβουλευομένους.

11. *ΤΑΥΡΟΣ, ΛΕΑΙΝΑ ΚΑΙ ΣΥΑΓΡΟΣ*

(Kor. 373 Halm 395)

332

ταῦρος εὑρηκὼς κοιμώμενον λέοντα τοῦτον κερατίσας ἀπέκτεινεν. ἐπιστᾶσα δὲ ἡ ἐκείνου μήτηρ πικρῶς αὐτὸν ἀπεκλαίετο. ἰδὼν δὲ αὐτὴν σύαγρος ὀλοφυρομένην μακρόθεν ἑστὼς ἔφη πρὸς αὐτήν· „ὦ πόσοι ἄρα τυγχάνουσιν ἄνθρωποι θρηνοῦντες, ὧν τὰ τέκνα ὑμεῖς ἀπεκτείνατε."

ὁ μῦθος δηλοῖ, ὅτι ἐν ᾧ μέτρῳ μετρεῖ τις, μετρηθήσεται αὐτῷ.

12. *ΒΟΥΚΟΛΟΣ*

(Kor. 131d p. 333) 49d cf. I p. 67

ποιμήν τις ἀπολέσας ἓν τῶν προβάτων ἐδεήθη τοῦ θεοῦ συνθήκας ποιούμενος ὡς, εἴγε τοῦτο ἐφεύροι, ἕτερον ὑπὲρ αὐτοῦ εἰς θυσίαν προσάξει. περιερχόμενος δὲ ὁρᾷ τὸ αὐτοῦ πρόβατον ὑπὸ λέοντος βιβρωσκόμενον. καὶ τοῦτο ἰδὼν ἐν

---

10 2 *ἀφ' οὗ καὶ ἡδέως πολὺ* MV *ἀφ' οὗ . . .* (lac.) *. . καὶ πολὺ* A *ἀφ' οὗ καί τινος καὶ πολὺ* B ‖ 7 *ἀπελθεῖν* B ‖ 9 *πρότερον* om. M

11 4 *ὁπόσοι* B ‖ 5 *τὰ ἑαυτῶν τέκνα* B ‖ 6 cf. ev. Matth. 7, 2 | *ἀντιμετρηθήσεται* MV

12 3 *τὸ αὐτὸ* MV ‖ 4 *τοῦτον* MV

ἑαυτῷ ἔλεγεν ὡς „εἰ μόνον τὸν τοῦ θηρίου διαδράσαιμι κίνδυνον, καὶ ἕτερον πρόβατον εἰς λύτρου δῶρον προσενέγκοιμι."

ὁ μῦθος δηλοῖ, ὡς τὴν ἰδίαν ζωὴν ἄνθρωποι παντὸς κέρδους καὶ πλούτου προτιμοτέραν ἔχουσιν.

13. *ΤΑΥΡΟΙ ΔΥΟ ΚΑΙ ΛΕΩΝ*

(Kor. 296e) 321 b cf. supra p. 140

λέων προσβαλὼν ταύροις δυσὶν ἐπειρᾶτο τούτους καταθοινήσασθαι. οἱ δὲ τὰ ἑαυτῶν κέρατα ἐπ' ἴσης αὐτῷ παρατάξαντες οὐκ εἴων τὸν λέοντα μέσον αὐτῶν παρελθεῖν. ὁρῶν τοίνυν ἐκεῖνος, ὡς ἀδυνάτως ἔχει πρὸς αὐτούς, κατεσοφίσατο τοῦ ἑνὸς καὶ πρὸς αὐτὸν ἔφησεν ὡς „εἴγε τὸν σὸν ἑταῖρον προδώσεις μοι, ἀβλαβῆ σε διατηρήσω." καὶ τούτῳ τῷ τρόπῳ ἀμφοτέρους τοὺς ταύρους ἀνῄρηκεν.

ὁ μῦθος δηλοῖ, ὡς καὶ πόλεις καὶ ἄνθρωποι ἀλλήλοις ὁμονοοῦντες οὐ συγχωροῦσιν αὐτῶν τοὺς ἐχθροὺς περιγενέσθαι, τῆς δ' ὁμονοίας καταφρονοῦντες εὐχερῶς ἄρδην τοῖς ἐναντίοις ἁλίσκονται.

14. *ΑΛΩΠΗΞ ΚΑΙ ΠΙΘΗΞ*

(Kor. 374 Halm 43 b) 14 b cf. I p. 21

ἀλώπηξ καὶ πίθηξ ἐπὶ τὸ αὐτὸ ὡδοιπόρουν. παρερχόμενοι δὲ διά τινων μνημείων ἔφη ὁ πίθηξ τῇ ἀλώπεκι ὡς „πάντες οἱ νεκροὶ οὗτοι ἀπελεύθεροι τῶν ἐμῶν γεννητόρων ὑπάρχουσιν." ἡ δὲ ἀλώπηξ λέγει τῷ πίθηκι· „εὐκαίρως ἐψεύσω· οὐδεὶς γὰρ τῶν ἐνταῦθα ταφέντων ἀπελέγξαι σε δύναται."

---

13 Aphth. 16 Themist. 5 cf. p. 140 14 periit in M

---

6 *λύτρον* A, Matth. Kor. || 8 *ἄνθρωποι* om. A *πάντες ἄνθρωποι παντὸς* MV

13 9 *τοῖς ἐχθροῖς* Kor. || 10 *περιφρονοῦντες* A *καὶ ἀφωνοῦντες αἰσχρῶς ἄρδην* V || 11 *ὑπεναντίοις* M

14 1 *ἐπὶ τῷ αὐτῷ* Halm collata Augustana || 4 *εὐχερῶς* AV

οὗτος ὁ μῦθος παριστᾷ τὸν τοὺς ψευδολόγους ὀρθῶς διελέγχοντα καὶ τοὺς προδήλως τὸ ψεῦδος ἀντὶ ἀληθείας προσφέροντας.

15. *ΕΛΑΦΟΣ ΚΑΙ ΘΗΡΕΥΤΑΙ*

(Kor. 181 h) 76c cf. I p. 101

ἔλαφός τις διψῶσα κατῆλθεν ἐπί τινα πηγὴν τοῦ ὕδωρ πιεῖν. ἰδοῦσα δὲ ἐν τῷ ὕδατι τὸ τοῦ ἰδίου σώματος ὁμοίωμα τῇ μὲν τῶν ποδῶν λεπτότητι ἀπηρέσκετο, τῇ δὲ τῶν κεράτων μορφῇ ἐπετέρπετο. ἄφνω δέ τινες ἐφίστανται θηρευταὶ καὶ ταύτην ἐδίωκον. καὶ καθ' ὅσον μὲν ἐπὶ τῆς πεδιάδος ἔτρεχεν, τῶν διωκόντων ὑπερεγίνετο, φθάσασα δὲ εἰς ἕλος ἀπροσδοκήτως εἰσελθεῖν τῶν αὐτῆς κεράτων τοῖς κλάδοις συμπλακέντων ὑπὸ τῶν διωκόντων καταλαμβάνεται καὶ στενάξασα ἔφη· „οἴμοι τῇ ταλαιπώρῳ, ὅτι ἐφ' οἷς ἀπηρεσκόμην, ὑπ' αὐτῶν μᾶλλον διεσῳζόμην, οἷς δὲ ἐνεκαυχώμην, ὑπ' αὐτῶν δὴ καὶ ἀπόλλυμαι."

ὁ μῦθος δηλοῖ, ὡς οὐ χρή τινα τῶν ἐν ἑαυτῷ τι ἐπαινεῖν, εἰ μὴ τὰ εὔχρηστα καὶ ἐπωφελῆ.

16. *ΚΥΩΝ ΚΑΙ ΧΑΛΚΕΙΣ*

(Kor. 284c Halm 413)

333

ἦν τις κύων χαλκέων τινῶν ἐν οἰκίᾳ διάγων. κἀκείνων μὲν ἐργαζομένων οὗτος εἰς ὕπνον ἐτρέπετο, εἰς ἑστίασιν δὲ καθεζομένων ἐγίνετο ἔξυπνος καὶ τοῖς ἑαυτοῦ κυρίοις

---

16 Babr. 190 par. 143 versibus inclusa legitur II 58 (= Ch. 346)

---

6 *δηλοῖ παριστῶν* V

15 1 *ὕδατος* A || 4 *ἐφίστανται*] Matth. *ἐπίστανται* AB *ἐπίσταντο* M *ἐπιστάντες θηραταὶ ταύτην* V || 5 *ἡ δὲ καθ'* B || 6 *περιεγίνετο* B Kor. || 9 *στενάξας* AB || 13 *ἐπωφελῆ διαπράττοιντο* M *διαπράττοιτο* V

χαριέντως προσεπέλαζεν. οἱ δὲ πρὸς αὐτὸν ἔλεγον· ,,πῶς τῷ μὲν ψόφῳ τῶν βαρυτάτων σφυρῶν οὐδ' ὅλως ἐξυπνίζῃ, τῷ δὲ βραχυτάτῳ κρότῳ τῶν μυλοδόντων ταχέως διεγείρῃ;''

ὁ μῦθος δηλοῖ, ὡς καὶ ἄνθρωποι ἀνήκοοι, ἐφ' οἷς δῆθεν ὠφελεῖσθαι καραδοκοῦσι, ταχέως τούτοις καὶ ὑπακούουσιν· ἐν οἷς δ' ἀπαρέσκονται, ἀπειθεῖς πάντες καθίστανται [καὶ ὀκνηροί τε καὶ ῥᾴθυμοι].

17. *ΑΛΩΠΗΞ ΚΑΙ ΛΕΩΝ*

(Kor. 375 Halm 40)

334

ἀλώπηξ θεασαμένη ἐγκάθειρκτον λέοντα καὶ τούτου στᾶσα ἐγγὺς δεινῶς αὐτὸν ὕβριζεν. ὁ δὲ λέων ἔφη πρὸς αὐτήν· ,,οὐ σύ με καθυβρίζεις, ἀλλ' ἡ προσπεσοῦσά μοι ἀτυχία.''

ὁ μῦθος δηλοῖ, ὡς πολλοὶ τῶν ἐνδόξων δυσπραγίαις περιπίπτοντες ὑπ' εὐτελῶν ἐξουθενοῦνται.

18. *ΟΦΙΣ ΠΑΤΟΥΜΕΝΟΣ*

(Kor. 119b) 213c cf. supra p. 34

ὄφις τις ἕρπων παρὰ πολλῶν συνεπατεῖτο. πορευόμενος δὲ εἰς τὸ τοῦ Ἀπόλλωνος εἰδωλεῖον εἰσελήλυθεν. ὁ δὲ Ἀπόλλων εὐθὺς ἔφη πρὸς αὐτόν· ,,εἰ ὤλεσάς γε τὸν πρῶτόν σε συμπατήσαντα, οὐδεὶς ἂν τῶν ἑτέρων κατατετολμήκει σου.''

ὁ μῦθος δηλοῖ, ὡς οἱ προλαβόντως σφαλέντες, εἴπερ εὐθὺς σωφρονίζοιντο, οἱ ἕτεροι δι' ἐκείνων κατάφοβοι γίνονται.

---

17 cf. *λύκος καὶ ἔριφος* 100 I p. 126

---

16 4 *αὐτοῦ* B || 5 *τὰ μὲν ψόφα* MV || 6 *βραχυτάτῳ* om. B || 8 *τούτοις* om. AB || 9 *καὶ . . . ῥᾴθ.* post *ἀπαρέσκοντες* ins. AB, om. M

18 3 *πρώτως* MV || 4 *κατατετόλμηκε* V *κατετόλμησε* Matth. || 7 *σωφρονίζοντο* B

19. *ΚΥΝΕΣ ΚΑΙ ΑΛΩΠΗΞ*
(Kor. 376 Halm 219)

335

λέοντος δορὰν κύνες εὑρόντες διεσπάραττον ταύτην. τούτοις δὲ ἀλώπηξ ἰδοῦσα ἔφη· „εἰ οὗτος ὁ λέων τοῖς ζῶσι συνῆν, εἴδετε ἂν τοὺς αὐτοῦ ὄνυχας ἰσχυροτέρους τῶν ὑμετέρων ὀδόντων."

ὁ μῦθος δηλοῖ τοὺς τῶν ἐνδόξων καταφρονοῦντας, ὅταν τῆς δόξης ἐκπίπτωσιν.

20. *ΕΛΑΦΟΣ ΝΟΣΟΥΣΑ*
(Kor. 377 Halm 131)

336

ἔλαφος νόσῳ περιπεσοῦσα ἐπί τινος τόπου πεδινοῦ κατακέκλιτο. τινὰ δὲ τῶν θηρίων εἰς θέαν αὐτῆς ἐλθόντα τὴν παρακειμένην τῇ ἐλάφῳ νομὴν κατεβοσκήθησαν. εἶτα ἐκείνη τῆς νόσου ἀπαλλαγεῖσα τῇ ἐνδείᾳ δεινῶς κατετρύχετο καὶ τῇ νομῇ τὸ ζῆν προσαπώλεσεν.

ὁ μῦθος δηλοῖ, ὡς περιττοὺς καὶ ἀνοήτους κτώμενοι □ *φίλους ἀντὶ κέρδους ὑπ' αὐτῶν ζημίαν μᾶλλον ὑφίστανται.*

21. *ΑΝΗΡ ΚΑΙ ΚΥΩΝ*
(Kor. 378 Halm 164)

337

ἀνὴρ κλέπτης παρερχόμενον κύνα ἰδὼν διηνεκῶς αὐτῷ ψωμοὺς προσέρριπτε. λέγει οὖν πρὸς τὸν ἄνδρα ὁ κύων· □ *„ἄνθρωπε, ἄπιθι ἐξ ἐμοῦ. ἡ γὰρ πολλή σου αὕτη εὔνοια μᾶλλόν με τὰ μέγιστα θροεῖ."*

ὁ μῦθος δηλοῖ, ὡς οἱ πολλὰ δῶρά τισι παρεχόμενοι δῆλοί εἰσι τὴν ἀλήθειαν ἀνατρέποντες.

---

20 Babr. 46 **21** Phaedr. I 23 Romul. XXIX periit in M

---

19 1 *τούτους* Kor. || **5** *δηλοῖ πρὸς τοὺς* A *δηλοῖ ὡς* MV, in M additur *τῆς ἀρχῆς καὶ δόξης ἐκπίπτ. μὴ ἐπαινεῖν χρή*

20 1 *κατεκέκλιτο* edit. praeter Korain || **6** *ἀνοήτους* AM || **7** *ζημίας* MV

21 1 *κλέπτης*] scr. collata Phaedri fabula *nocturnus cum fur* *θηρευτὴς* libri. an *προσερχόμενον . . . παρέρριπτε?* || **3** *πολλή σου αὕτη*] Kor. *πολλά σου αὐτή* A *πολλή σου* BV *ista subita . . . benignitas* Ph.

22. *ΛΑΓΩΟΙ ΚΑΙ ΑΛΩΠΕΚΕΣ*

(Kor. 107b) 169c cf. I p. 193

λαγωοί τινες πρὸς ἀετὸν πόλεμον συγκροτοῦντες τὰς ἀλώπεκας εἰς συμμαχίαν προσεκαλοῦντο. αἱ δὲ πρὸς αὐτοὺς εἶπον· „ἑτοίμως ἂν εἴχομεν συμμαχεῖν ὑμῖν, εἰ μὴ ᾔδειμεν, τίνες τέ ἐστε καὶ τίνι διαμάχεσθε.“

ὁ μῦθος ἐλέγχει τοὺς τοῖς ἰσχυροτέροις προσκρούοντας καὶ ἑαυτοῖς ἐξ αὐτῶν κίνδυνον ἐπάγοντας.

23. *ΠΑΙΣ ΛΟΥΟΜΕΝΟΣ*

(Kor. 310b) 230b cf. supra p. 51

παῖς τις εἰσελθὼν ἐπί τινα ποταμὸν ἀπολούσασθαι καὶ μὴ εἰδὼς νήχεσθαι ἐκινδύνευεν ἀποπνιγῆναι· καί τινα παρερχόμενον ἄνδρα ἰδὼν εἰς βοήθειαν τοῦτον ἐκάλει. ὁ δὲ ἄνθρωπος τοῦτον διασῴζων ἐκεῖθεν ἔλεγεν αὐτῷ· „ἵνα τί μὴ νήχεσθαι εἰδὼς τῆς τοσαύτης κατατετόλμηκας πλημμύρας;“ ὁ δὲ παῖς αὐτῷ ἔφη· „τέως νῦν βοήθει μοι καὶ μετὰ ταῦτα ὀνείδισον.“

ὁ μῦθος δηλοῖ, ὡς ὁ ἐν περιστάσει τινὰ προσονειδίζων ἀκαίρως αὐτοῦ καὶ ἀπρεπῶς καταμέμφεται.

24. *ΑΕΤΟΣ ΚΑΙ ΑΛΩΠΗΞ*

(Kor. 1b) 1d cf. I p. 1

ἀετός τις τῇ ἀλώπεκι φιλιωθεὶς τοὺς αὐτῆς μετὰ ταῦτα καταβέβρωκε σκύμνους. ἡ δὲ πρὸς αὐτὸν μὴ δυναμένη τῆς θείας δίκης ἐδέετο κατ' αὐτοῦ. μιᾷ γοῦν συμβέβηκε θυσίαν τινὰ ἐπὶ βωμοῦ κατακαίεσθαι. ὁ δὲ ἀετὸς καταπτὰς βρῶμα ἐκεῖθεν ζέον ἐξήρπασε καὶ τοῖς ἑαυτοῦ νεοσσοῖς διαδέδωκεν· οἱ δὲ νεοσσοὶ ἐσθίοντες ὑπὸ τῆς ζέσεως εὐθὺς διεφθάρησαν.

---

22 6 *αὐτοῖς* B

23 1 *εἰσῆλθεν* B *ἐλθὼν* A || **3** *τοῦτον* om. B || **4** *αὐτῷ* om. B || **8** *τινὶ* A deest in M

24 1 *τῇ* delet Kor. || **2** an *πρὸς αὐτὸν ⟨μάχεσθαι⟩ μὴ δ.*?

ὁ μῦθος δηλοῖ, ὡς οἱ τῶν ἀνθρώπων δυνάσται καὶ ἄδικοι, εἰ καὶ παρὰ τῶν ἀδικουμένων μηδὲν πάσχουσιν, ἀλλά γε ταῖς ἐκείνων ἀραῖς θείαν ἀγανάκτησιν ἐπισπῶνται.

25. *ΓΕΩΡΓΟΣ ΚΑΙ ΟΦΙΣ*

(Kor. 170d p. 357) 62b cf. I p. 85

ὥρᾳ χειμῶνος ἔχις τις πλησίον ὁδοῦ κατέκειτο καὶ τῇ τοῦ ψύχους σφοδρότητι ἐκινδύνευε διαφθαρῆναι. ἀνὴρ δέ τις παρερχόμενος καὶ ταύτην ἰδὼν κατῴκτειρε καὶ ἄρας τῆς γῆς τῷ ἰδίῳ κόλπῳ ἐναπέθετο. ἡ δὲ ἔχις διαθερμανθεῖσα εὐθὺς καιρίῳ δήγματι τὸν ἄνδρα ἀπέκτεινεν.

ὁ μῦθος δηλοῖ, ὡς ὁ φύσει κακός, κἂν ἀγαθόν τι παρ' οὑτινοσοῦν ἐπισπάσαιτο, τῷ εὐεργέτῃ μᾶλλον κακὰ ἀποδίδωσιν.

26. *ΙΞΕΥΤΗΣ ΚΑΙ ΠΕΡΔΙΞ*

(Kor. 164b) 205c cf. supra p. 26

ἀνήρ τις ἰξευτὴς κατέσχε τινὰ πέρδικα καὶ εὐθὺς αὐτὸν καταθῦσαι ἠθέλησεν. ὁ δὲ πέρδιξ τῆς ἰδίας ζωῆς ἀντεχόμενος πρὸς τὸν ἰξευτὴν συνέθετο, ὡς „εἴ με τῶν δεσμῶν ἐλευθερώσεις, πολλοὺς πέρδικας ἐκμειλιξάμενος προσαγάγω σοι.“ ὁ δὲ ἰξευτὴς τῷ τούτου λόγῳ μᾶλλον μανεὶς τοῦτον αὐτίκα ἀνῄρηκεν.

ὁ μῦθος δηλοῖ, ὡς ὁ ἑτέρῳ παγίδας ἱστῶν αὐτὸς ἐν αὐτῇ ὡς σκαιὸς ἐμπεσεῖται.

27. *ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ*

(Kor. 136c) 89c cf. I p. 115

ἀνήρ τις ὄρνιν ἐκέκτητο χρυσοῦν ᾠὸν καθ' ἑκάστην αὐτῷ τίκτουσαν. ὁ δὲ μὴ τῷ καθημερινῷ ἐκείνῳ ἐπαρκούμενος

---

8 *παρά τινων* MV
25 6 *παρ' οὑτινοσοῦν*] Kor. *παρ' ὁτινοσοῦν* V *παρά τινος σὺν* ABM
26 1 *αὐτὴν* AMV in sequentibus femininum genus tribuunt coturnici MV, masculinum AB || **3** *συνετίθετο* B || **6** cf. ev. Matth. 15 14, Ps. 7 16 etc. || **8** *ὡς σκαιὸς*] MV *ὡς καὶ ὡς* B *ὡς κακὸς* A

κέρδει, ἀλλ' ἀφρόνως τοῦ πλείονος ὀρεγόμενος τὴν ὄρνιν κατέθυσεν· ἐδόκει γὰρ ἐν τοῖς ἐγκάτοις αὐτῆς θησαυρῷ τινι ἐντυχεῖν. καὶ μηδὲν ὅλως ἐφευρὼν καθ' ἑαυτὸν ἔλεξεν ὡς „ἐλπίδι θησαυροῦ ἐπερειδόμενος καὶ τοῦ ἐν χερσὶ κέρδους ἐξέπεσον."

ὁ μῦθος δηλοῖ, ὡς [οἱ] πολλοὶ τῶν πλειόνων ὀρεγόμενοι καὶ τῶν ὀλίγων ἐκπίπτουσιν.

□ 28. *ΚΥΩΝ ΚΡΕΑΣ ΦΕΡΩΝ*

(Kor. 209e) 136e cf. I p. 161

κύων ἁρπάσας βρῶμα ἐκ μακελλίου ᾤχετο φυγὰς ἐκεῖθεν καὶ ἔφθασεν ἐπί τινα ποταμόν. περαιούμενος δὲ αὐτὸν ὁρᾷ ἐν τοῖς ὕδασι τὴν τοῦ βρώματος σκιὰν πολλῷ οὖσαν, οὗ ἔφερεν, εὐμεγεθεστέραν. καὶ τοῦ στόματος ἀπορρίψας τὸ βρῶμα ἐπὶ τὴν ὁραθεῖσαν αὐτοῦ σκιὰν κατηπείγετο. τῆς δὲ ἀφανοῦς γενομένης στραφεὶς ὁ κύων τὸ ἀπορριφὲν ἆραι οὐδὲν ἐφεῦρε τὸ σύνολον. καὶ γὰρ ἐκεῖνο παρά τινος καταπτάντος κόρακος εὐθὺς ἡρπάγη καὶ κατεβρώθη. εἶτα ὁ κύων ἑαυτὸν ἐταλάνιζε· „τί ἄρα πέπονθα" λέγων, „ὅτι, ὃ εἶχον, ἀφρόνως καταλιπὼν ἐφ' ἕτερον ἀφανὲς ἠπειγόμην· κἀκείνου ἀποτυχὼν καὶ τοῦ προτέρου ἐξέπεσον."

ὁ μῦθος ἐλέγχει τοὺς ἀκορέστως ἔχοντας καὶ τῶν περιττῶν ὀρεγομένους.

29. *ΟΝΟΣ ΚΑΙ ΙΠΠΟΣ*

(Kor. 58b) 272b cf. supra p. 90

ὄνος καὶ ἵππος ὑπῆρχον ἀνθρώπῳ τινὶ καὶ ἕκαστος αὐτῶν ἰδίαν ὑπηρεσίαν ἐπλήρου. ἀλλ' ὁ μὲν ἵππος ἀνέσεως πολ-

---

27 8 *ὡς καὶ* V *οἱ* del. Kor.

28 1 *μακελλείου* edit. || **4** *εὐμεγεθέστερον* Kor. || **12** *δηλοῖ περὶ τῶν ἀκορ. ἐχόντων καὶ . . . ὀρεγομένων* M V

29 1 *καὶ* ante *ἕκαστος* om. B || **2** *ἐπλήρουν* B

λῆς παραπολαύων δαψιλῶς ἐτρέφετο, χαίτην τε καὶ πλοκάμους ὑπὸ τῶν ἱπποκόμων ἐκαλλωπίζετο καὶ ὁσημέραι τοῖς ὕδασιν ἀπελούετο. ὁ δὲ ὄνος διόλου ἀχθοφορῶν τῷ τῶν γόμων βάρει κατετρύχετο. μιᾷ γοῦν ὁ τοῦ ἵππου κύριος ἐπιβὰς αὐτοῦ ἐπί τινα πόλεμον ἀπῄει καὶ μάχης συγκροτηθείσης ὁ ἵππος εὐθὺς ἐπλήγη καὶ ἀνῃρέθη. ἰδὼν δὲ τὴν αὐτοῦ ἀπώλειαν ὁ ὄνος ἑαυτὸν μᾶλλον τῆς πολυμόχθου ἐμακάριζεν ὑπηρεσίας.

ὁ μῦθος δηλοῖ, ὡς ὁ πενιχρὸς βίος ἀνεπίφθονος τυγχάνων πολλῷ τοῦ πλούτου ὡς κινδυνώδους προτιμότερος.

30. *ΟΝΑΓΡΟΣ ΚΑΙ ΟΝΟΣ*

(Kor. 379 Halm 318)

338

ὄναγρος ὄνον ἰδὼν βαρὺν γόμον ἐπαγόμενον καὶ τὴν δουλείαν αὐτῷ ἐπονειδίζων ἔλεγεν· ,,εὐτυχὴς ὄντως ἐγώ, ὅτι ζῶν ἐλευθέρως καὶ διάγων ἀκόπως αὐτοσχέδιον καὶ τὴν νομὴν ἐν τοῖς ὄρεσι κέκτημαι. σὺ δὲ δι' ἄλλου τρέφῃ καὶ δουλείαις καὶ πληγαῖς καθυποβάλλῃ διηνεκῶς.'' συνέβη γοῦν αὐθωρὸν λέοντά τινα φανῆναι καὶ τῷ μὲν ὄνῳ μὴ προσπελάσαι ὡς συνόντος αὐτῷ τοῦ ὀνηλάτου, τῷ δὲ ὀνάγρῳ μεμονωμένῳ τυγχάνοντι σφοδρῶς ἐπελθεῖν καὶ αὐτῷ θέσθαι κατάβρωμα.

ὁ μῦθος δηλοῖ, ὡς οἱ ἀνυπότακτοι καὶ σκληροτράχηλοι τῇ αὐτοβουλίᾳ φερόμενοι καὶ βοηθείας τινὸς μὴ δεόμενοι αὐθωρὸν πτῶμα γίνονται.

---

3 *παραπολαβὼν* AB | 4 *καὶ ὁσ. ... (5) ἀπελούετο* om. B || 7 *τῆς μάχης* AB || 8 *ἵππος πληγεὶς ἀνῃρ.* MV || 11 *ἀνεπίφθονος*] Matth. *ἀνεπίφοβος* libri || 12 *πολλῷ μᾶλλον* MV

30 1 *καὶ* del. Halm || 3 *ζῶ ... διάγω* AMV || 4 *δι' ὅλου* B || 5 *διηνεκῶς* om. B | *δ' οὖν* Halm || 6 *αὐθωρῶν* AM *αὐθαρὸν* B || 7 *τῷ δὲ ὀνάγρῳ μεμονομένῳ τυγχάνοντα* B || 8 *αὐτῷ*] Kor. *αὐτῶ* B *αὐτὸν* MA *αὔτην* V || 12 *γενήσονται* B *πεσοῦνται?* Halm

31. *ΣΥΚΗ ΚΑΙ ΕΛΑΙΑ*

(Kor. 299b) 324b cf. supra p. 143

συκῆ τις ὥρᾳ χειμῶνος τὰ ἑαυτῆς ἀποβαλοῦσα φύλλα ὑπό τινος ἐλαίας πλησιαζούσης τὴν γύμνωσιν ὠνειδίζετο λεγούσης, ὡς „ἐγὼ καὶ χειμῶνος καὶ θέρους τοῖς φύλλοις μου κεκαλλώπισμαι καὶ ἀείφυλλος πέφυκα· σὺ δὲ μόνῳ τῷ θέρει πρόσκαιρον ἔχεις τὸ κάλλος.“ οὕτω δὲ αὐτῆς καυχωμένης κεραυνὸς ἄφνω θεόθεν κατηνέχθη καὶ ταύτην κατέφλεξε, τῆς δὲ συκῆς τὸ παράπαν οὐ καθήψατο.

οὕτως οἱ τῷ πλούτῳ καὶ τῇ τύχῃ ἐγκαυχώμενοι ἐξαίσιον [*τὸ*] *πτῶμα ὑφίστανται.*

32. *ΑΝΗΡ ΚΑΙ ΚΗΠΟΥΡΟΣ*

(Kor. 380 Halm 191 b)

339

ἀνήρ τις κηπουρόν τινα θεασάμενος τῶν λαχάνων ἀρδείαν ποιούμενον ἔφη πρὸς αὐτόν· „πῶς τὰ μὲν ἄγρια φυτὰ μήτε φυτευόμενα μήτε ἐργαζόμενα ὡραῖα πεφύκασι, τὰ δὲ τῆς ὑμῶν φυτηκομίας πολλάκις ξηραίνεται;“ ὁ δὲ κηπουρὸς ἀντέφησεν, ὡς „τὰ ἄγρια τῶν φυτῶν μόνῃ τῇ θείᾳ προνοίᾳ ἐφορᾶται, τὰ δὲ ἥμερα ὑπὸ χειρὸς ἀνθρωπίνης ἐπιμελεῖται.“

ὁ λόγος δηλοῖ, ὡς κρείττων ἡ τῶν μητέρων ἀνατροφὴ πέφυκε τῆς τῶν μητρυιῶν ἐπιμελείας.

33. *ΚΥΩΝ ΚΑΙ ΜΑΚΕΛΛΕΥΣ*

(Kor. 34 b) 134 d cf. I p. 159

κύων ἐν μακελλίῳ εἰσελθὼν καρδίας βρῶμα ἐκεῖθεν ἀφήρπασεν. ὁ δέ γε μακελλεὺς ἐπιστραφεὶς ἔλεγεν αὐτῷ· „οὐ

---

31 Aphth. 22 **32** vita Aes. 21 W 248 E

---

31 1 *ἀποβαλοῦσα*] V, Kor. *-βάλλουσα* AOM || **5** *πρὸς καιρὸν* AB, Kor. || **7** *οὐχ ἥψατο* MV || **9** *τὸ* om. MV
32 6 *ἐφορᾶται* V | *ἥμερα*] Matth. *ἡμέτερα* libri
33 1 *ἀφήρπαζεν* A

καρδίαν ἀνήρπασας, ἀλλὰ καρδίαν ἐνέθου μοι. εἰ γὰρ αὖθις ἐνταῦθα εἰσέλθῃς, ἐγώ σοι τὰ τῆς ἁρπαγῆς ἐπιδείξω ἐπίχειρα."

ὁ μῦθος δηλοῖ, ὡς ἐν τῷ παθεῖν τις ἐπισπᾶται τὸ μαθεῖν καὶ προσεκτικῶς ἔχειν.

34. *ΚΗΠΟΥΡΟΣ ΚΑΙ ΚΥΩΝ*

(Kor. 67 b) 122 b cf. I p. 148

κύων κηπουροῦ τινος εἰς φρέαρ ἐμπέπτωκεν. ὁ δὲ κηπουρὸς κατελθὼν αὐτὸν ἐκεῖθεν ἀνελκύσαι δεινῶς ὑπ' αὐτοῦ ἐδήχθη δόξαντος μᾶλλον τὸν ἄνδρα βούλεσθαι αὐτὸν ἐπὶ πλέον καταβυθίσαι τῷ ὕδατι. ὁ δὲ κηπουρὸς ὑπὸ τοῦ κυνὸς δηχθείς· „δικαίως" ἔφη „πέπονθα, ὅτι σε τοῦ φρέατος ἐκβαλεῖν ἐσπουδακὼς χαλεπῶς μᾶλλον ὑπό σου τετραυμάτισμαι."

ὁ μῦθος οὗτος τοὺς ἀχαρίστους καὶ ἀγνώμονας ἐλέγχει.

35. *ΓΑΣΤΗΡ ΚΑΙ ΠΟΔΕΣ*

(Kor. 202 b) 132 b (*κοιλία καὶ πόδες*) cf. I p. 157

ἀνδρός τινος ἡ γαστὴρ τοῖς ἑαυτοῦ ποσὶ περὶ ἰσχύος διεφέρετο. οἱ μέντοι πόδες ἔλεγον τῇ γαστρί ὡς „ἡμεῖς σοῦ ἐσμεν ἰσχυρότεροι ἅτε δὴ καὶ διαβαστῶντές σε." ἡ δὲ γαστὴρ τοῖς ποσὶν ἀντέφησεν ὡς „εἰ μὴ ἐγὼ τὰς βρώσεις ἐδεχόμην, ὑμεῖς ἀδυνάτως ὅλως στῆναι εἴχετε ἄν."

ὁ μῦθος δηλοῖ, ὡς καὶ ἅπαν στράτευμα πρὸς τὴν μάχην ἀδόκιμον γίνεται, εἰ μὴ πρότερον ὑπὸ τοῦ στρατηλάτου γυμνάζοιτο καὶ παραθαρρύνοιτο.

---

3 *ἥρπασας* MV || 4 *ὑποδείξω* AB || 6 *τὰ μαθεῖν* A

34 3 *δόξαντος*] MV *δόξαν τοῖς* B *δόξαν αὐτῷ* A | *μᾶλλον* om. MV | *ἐπὶ πλέον* om. MV || 8 *οὗτος* (= *ὁ λόγος*) *δηλοῖ κατὰ τῶν ἀχαρίστων καὶ ἀγνωμόνων* (*ἀγνοούντων* V) *ἐλέγχους* MV

35 1 *δι' ἰσχύος περιεφέρετο* V || 5 *τοῦ ὅλως* B | *ἂν* ante *ἀδυνάτως* collocat B *εἴχετε στῆναι ἄν* V *ἂν ἀδ. ὅ. στ. εἴχετε* Kor.

36. *ΝΥΚΤΕΡΙΣ, ΚΕΠΦΟΣ ΚΑΙ ΒΑΤΟΣ*

(Kor. 42 p. 301) 181d cf. I p. 206

νυκτερίς, κέπφος καὶ βάτος πρὸς ἀλλήλους κοινωνίαν ἔθεντο τοῦ ἐπί τινα δῆθεν ἐμπορίαν ἀπελθεῖν. καὶ ἡ μὲν χρυσόν, ὁ δὲ χαλκόν, ἡ δὲ ὑφάσματα δανειακῶς ἐξελάβοντο καὶ ἐν πλοίῳ ἀποθέμενοι τοῦ πλοὸς εὐθὺς εἴχοντο. ἄφνω δὲ ζάλη καὶ καταιγὶς διαπνέουσα εἰς κλύδωνα μέγιστον τὸ πέλαγος ἦρε καὶ τὸ σκάφος διασπαράξασα τὰ ἐν αὐτῷ πάντα τῷ βυθῷ παραδίδωσιν. ἐξ ἐκείνου δὲ ἡ μὲν νυκτερὶς τοὺς δανειστὰς πτοουμένη καὶ δεδιῶσα καὶ ἑαυτὴν ὑποστέλλουσα μόνη τῇ νυκτὶ ἐξέρχεται. ὁ δὲ κέπφος ἐπὶ τῆς θαλάσσης τὰς διατριβὰς ἔχει τὸν χαλκὸν ἀναζητῶν. ἡ δὲ βάτος τοῖς ἱματισμοῖς τῶν παραπορευομένων συμπλέκεται τὰ ὑφάσματα εὑρεῖν διόλου σπουδάζουσα.

ὁ μῦθος δηλοῖ, ὡς τῶν ἀνθρώπων ἕκαστον χρὴ μετὰ τὴν ἔκβασιν τῶν ἐπικινδύνων πράξεων προσεκτικῶς ἐξ αὐτῶν ἔχειν, ὥστε μὴ αὖθις τοῖς ἐκ τούτων ὁμοίοις κακοῖς περιπετῆ γίνεσθαι.

37. *ΛΕΩΝ ΚΑΙ ΑΛΩΠΗΞ*

(Kor. 137c) 147f cf. I p. 172

λέων γηράσας καὶ ἀτονήσας καὶ ἑαυτὸν μὴ δυνάμενος διατρέφειν ἐπειρᾶτο μηχανικῶς διαζῆν. νοσεῖν οὖν προσποιούμενος κατέκλινεν ἑαυτὸν ἔν τινι σπηλαίῳ, εἶτα τῶν ἄλλων θηρίων εἰς ἐπίσκεψιν αὐτοῦ παραγινομένων εὐθὺς ἕκαστον αὐτῶν ἁρπάζων κατήσθιε. γνοῦσα δὲ ἡ ἀλώπηξ τὴν αὐτοῦ πανουργίαν οὐκ ἤθελε πρὸς αὐτὸν ἀνελθεῖν, ἀλλὰ μακρόθεν ἑστῶσα ἐπηρώτα τὸν λέοντα, ὅπως δῆθεν

---

36 3 *τὸ δὲ χαλκὸν* AB („*βαρβάρως*“ Kor.) || **5** *διαπνεύσασα* V || **6** *αἴρῃ* (= *αἴρει*) B | *διασπαράξασα*] Knoell. *διασπαράξαν* AMV *διασπαράττει καὶ* B, Kor. || **8** *πτοουμένη καὶ* om. Kor. || **9** *τὸ δὲ κ. . . . ἀναζητοῦν* AB || **10** *αναζ. τ. χαλκόν* MV || **11** *συμπλεκομένη* A || **16** *περιπετεῖς* MV | *γίνεται* V

37 1 *γηράσας τις* BM *τις γηράσας* V | *διατρ. μὴ δυν.* B

τὰ κατ' αὐτὸν ἔχει. ὁ δὲ πρὸς αὐτὴν ἔλεγε· ,,τίνος χάριν οὐκ εἰσέρχῃ πρός με;" ἡ δὲ ἀλώπηξ ἀντέφησεν ὡς ,,πολλῶν ἴχνη ἐνταῦθα ἑώρακα εἰσελθόντων μέν, μὴ ἐξελθόντων δέ."

ὁ μῦθος δηλοῖ, ὡς καὶ τοὺς ἀνθρώπους ὑφορᾶσθαι δεῖ τὰ τῶν πρακτέων ἐπικίνδυνα καὶ ἐξ αὐτῶν ἀποδιδράσκειν, ἀσφαλίζεσθαι δὲ καὶ ἀπὸ τῶν δόλῳ καὶ ὑποκρίσει φιλίας πειρωμένων ἑτέρους λυμαίνεσθαι.

38. *ΚΥΩΝ ΚΑΙ ΛΥΚΑΙΝΑ*

(Kor. 381 Halm 230)

340

κύων καταδιώκων λύκαιναν ἐφρυάττετο τῇ τε τῶν ποδῶν ταχυτῆτι καὶ τῇ ἰδίᾳ ἰσχύι καὶ ἐδόκει φεύγειν τὴν λύκαιναν δι' οἰκείαν δῆθεν ἀσθένειαν. στραφεῖσα οὖν ἡ λύκαινα ἔφησε πρὸς τὸν κύνα· ,,οὐ σὲ δέδοικα, ἀλλὰ τὴν τοῦ σοῦ δεσπότου καταδρομήν."

ὁ μῦθος δηλοῖ, ὡς οὐ δεῖ τινα ἐγκαυχᾶσθαι τῇ τῶν ἑτέρων γενναιότητι.

39. *ΝΕΑΝΙΣΚΟΣ ΚΑΙ ΣΚΟΡΠΙΟΣ*

(Kor. 263e p. 392) 215d (*παῖς κ. σκ.*) cf. supra p. 35

νεανίσκος τις ἐν τοῖς ἐξωτάτοις καὶ ἐρημικωτάτοις τόποις ἀκρίδας ἠπείγετο κατασχεῖν. καὶ ἰδὼν μέσον αὐτῶν σκορπίον ἐδόκει κἀκεῖνον ἀκρίδα ὄντως τυγχάνειν καὶ τὴν χεῖρα ἐκτείνας ἐξᾶραι αὐτὸν τῆς γῆς ἔμελλεν. ὁ δὲ σκορπίος τὸ αὐτοῦ κέντρον πρὸς τὸ νύξαι τὸν νέον ἰθύνας ἔφη πρὸς αὐτόν ὡς ,,εἰ ὅλως τετόλμηκάς μου καθάψασθαι, παρεσκεύασα ἄν σε ἀπολῦσαι καὶ ἃς κατέσχες ἀκρίδας."

---

8 *ἔχειεν* B | *αὐτὸν* AM || **10** *οὐκ* pro *μὴ* V || **12** *ἀφορᾶσθαι* MV || **15** *ἑταίρους* AB *ἕτερον* V

38 2 *τὸν λύκον* AB || **3** *στραφεὶς ὁ λύκος* AB

39 1 *ἐρημικῆς* (= *-κοῖς*) B || **2** *ὑπείγετο* A || **3** *καὶ δὴ* (*δεῖ* V) *τὴν* MV

ὁ μῦθος δηλοῖ, ὡς οὐ χρὴ τοῖς σκαιοῖς ἀνδράσι καὶ τοῖς ἀγαθοῖς ἐπ' ἴσης ἐντυγχάνειν, ἀλλ' ἑκάστῳ πρὸς τὴν ἰδίαν γνώμην δεόντως προσομιλεῖν.

40. *ΤΑΥΡΟΣ ΚΑΙ ΑΙΓΕΣ ΑΓΡΙΑΙ*

(Kor. 382) 242c cf. supra p. 62

□ *ταῦρος λέοντά τινα ἀποδιδράσκων ἔν τινι σπηλαίῳ καταφυγὴν ἔθετο. ἐν αὐτῷ δὲ ἔτυχεν ἀγρίας αἶγας τυγχάνειν, αἳ δὴ καὶ τὸν ταῦρον εὐθὺς ἐκεράτιζον. ὁ δὲ ταῦρος πρὸς αὐτὰς ἔλεγεν ὡς „οὐχ ὑμᾶς δέδοικα, ἀλλὰ τὸν τοῦ σπηλαίου ἔξωθεν ἑστηκότα."*

ὁ μῦθος δηλοῖ, ὡς τοῖς [ἐν] δυσπραγίαις ὑπὸ δυναστῶν περιπίπτουσι πάντες οἱ ἐντυγχάνοντες μισητῶς ἐπεμβαίνουσιν.

41. *ΑΙΘΙΟΨ ΙΝΔΟΣ ΛΟΥΟΜΕΝΟΣ*

(Kor. 75d) 274d cf. supra p. 91

□ *ἀνήρ τις ἑωρακὼς Αἰθίοπά τινα Ἰνδὸν λουόμενον ἐν τῷ ποταμῷ ἔφη πρὸς αὐτόν· „μὴ συνταράσσῃς καὶ θολοποιῇς τὸ ὕδωρ. οὐδέποτε γὰρ λευκὸς γενήσῃ τῷ σώματι."*

ὁ μῦθος δηλοῖ, ὡς οὐδὲν τῶν φυσικῶν πραγμάτων τῆς φυσικῆς ἰδιότητος μεταβάλλεται.

---

8 *τοῖς σκαιοῖς ἀνδράσι καὶ τοῖς ἀγαθοῖς*] B *τοῖς σκαιοῖς ἀνδρ.* A *καὶ* (om. M) *τοῖς ἀγαθοῖς* MV *καὶ τοῖς σκ. ἀ. καὶ* Kor.

40 3 *ταῦρος* om. M || **4.5** *αὐτοὺς* B | *τὸν στήκοντα ἔξωθεν τοῦ σπήλου* B || **6** *οὗτος δηλοῖ* ... cetera desunt V | *ἐν* del. Matth. || **7** *οἱ αὐτοῖς ἐντ.* M | *ἐπεμβαίνουσιν*] M *ἐπιμμένουσιν* B *ἐπιμαίνουσι* A

41 1 *Αἰθίοπά τινα Ἰνδὸν*] *Αἰθίοπα* Acc., Aphth., *Ἰνδὸν* Them. *Αἰθίοπά τ. Ἰνδὸν* Kor. cf. p. 91 | *ἔν τινι ποτ.* ABV *τῷ* del. Kor. || **3** *λευκὸν γεννῆσει* (= *γενήσεται*? Matth.) *τὸ σῶμά σου* B || **4** *οὗτος* (= *ὁ λόγος*) *δηλοῖ* ... cetera desunt V | *ὡς οἱ τῶν πλειώνων τῶν φυσικῶν πρ.* B (= *τὰ πλείω τ. φ. πρ. οὐδὲν* Matth.) *τὰς φυσικὰς ἰδιότητας* Matth. *πραγμάτων τοῖς φυσικοῖς μεταβ.* (om. *ἰδιότητος*) M

42. *ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ*

(Kor. 24b) 58d cf. I p. 81

